AUTHOR:

CALLIMACHUS

TITLE:

KALLIMACHOU ...
HYMNOI ...

PLACE:

PARASIIS

DATE:

1675

Master Negative #

93-81264-3

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Works. 1675.
Gr. & Lat.

Callimachus.

Καλλιμάχου . . . Ὕμνοι, ἐπιγράμματα καὶ ἄλλα ἄττα. Callimachi ... Hymni, epigrammata et fragmenta, ejusdem poëmatium de coma Berenices a Catullo versum; accessere alia ejusdem epigrammata quaedam nondum in lucem edita ... adjecta sunt ad hymnos vetera scholia graeca ... cum notis Annae Tanaquilli Fabri filiae. Parasiis, Mabre-Cramoisy, 1675.
[20], 262, [58] p. 23 cm.

Edited by Tanne- gui Lefèbvre.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 4·7·93 INITIALS M.D.C.
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT





AIIM

Association for Information and Image Management


1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910


301/587-8202














MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.





ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ ΥΜΝΟΙ, ΕΠΙΓΡΑΜΜΑΤΑ ΚΑΪ ΑΛΛΑ ΑΤΤΑ.

CALLIMACHI CYRENÆI HYMNI, EPIGRAMMATA ET FRAGMENTA:

EJUSDEM POËMATIUM DE COMA BERENICES A CATULLO VERSUM.

ACCESSERE ALIA EJUSDEM EPIGRAMMATA QUÆDAM nondum in lucem edita; & Fragmenta aliquot in aliis editionibus prætermissa.


Adjecta sunt ad Hymnos vetera Scholia Græca.

ADJECTUS ET AD CALCEM INDEX VOCABULORUM OMNIUM.

Cum Notis ANNÆ TANAQUILLI FABRI FILIÆ.



PARISIIS,
Excudebat SEBASTIANUS MABRE-CRAMOISY, Regis Typographus, viâ Jacobæâ, sub Ciconiis.
M. DC. LXXV.
CUM PRIVILEGIO REGIS CHRISTIANISSIMI.



VIRO ILLUSTRI

PETRO DANIELI HUETIO

S. P. D.

ANNA TANAQUILLI FABRI FILIA.



V E M nunc Callimachum emitto, VIR ILLUSTRIS, *eum tu probasti, & inde mihi apud alios etiam probatum iri certa fides est. Sed, quod vel præcipuam laudem mereatur, id adhuc non præstiti; restat enim ut illum tibi offeram.*

ã ij

*Vera dico, hoc unum eſt quo apud omnes,
me divini hujuſce Poëtæ ſenſus intimos
noſſe, poßim teſtari, ſi quod ipſe ſibi fieri
velit exequar. Certa ſcio, non tam, quòd
clarior & integrior paulò prodeat, exulta-
bit, quàm, quòd clariſſimi tui Nominis
ſplendore colluſtretur, triumphabit ſeriò. In
Græcis Litteris nil elegantius, nil terſius,
nil politius unquam fuit, & hoc verè eſt
cur* ἄχρον ἄωτον, *ut ipſe vocat, tibi uni offerri
debeat, quum in hocce Litterarum Græca-
rum ſenio, unus ſis qui non ſolùm eas, ut
& alia, didiciſſe, ſed & à natura accepiſſe
videaris. Quod & ni ita eſſet, eſſent alia,
& item multa, quæ tibi me ſtudiorum meo-
rum primitias apponere hortarentur: ſed ea
omnia prudens prætereo, ne ſcilicet inde
paulò longior exurgat oratio, quam fieri
compendii volo. Si enim & amicitiam quâ
Patrem meum amantißimum, popularem
tuum, quoad vixit, amplexus es, & quâ
me benignitate, quo me favore proſequu-
tus,*

*tus, vellem commemorare, tum me certè
verba deficerent. His igitur nunc quidem
ſuperſedebo: hoc unum dicam,* VIR IL-
LUSTRIS, *Pater meus tibi Epiſtolarum
ſuarum volumen tertium dedicandum pa-
rabat, ni mors illum maturior abſtuliſſet:
nunc, ut me verè illius filiam teſter, ulti-
mam ejus voluntatem jure hereditario per-
ſequar neceſſe eſt: & ut tandem officio iſto
fungar, Callimachum redivivum tibi offe-
ro. Illum ego potiſſimum elegi, non temerè,
ſed exemplo magni illius Ptolemæi Phila-
delphi ducta: is eum olim qui cohorti ſuæ
adſcriberetur, dignum judicavit; ego etiam,*
ſi parva licet componere magnis, *illum
qui nunc in Regum invictiſſimi Aula ver-
ſetur, dignum judico. Quod ut à te faciliùs
conſequatur, priori formæ, qua ſcilicet Pto-
lemæo placuit, quoad fieri poterat, redden-
dum cenſui. Id ego ut præſtiti, tuum eſt ut
alterum præſtes, tibique illum honoris iſtius
participem facias; hoc ſi ſibi contingat,*

EPISTOLA.

VIR ILLUSTRIS, *tum te ſecum bellè, ſecum amanter agere exiſtimabit. Facilè nunc, ni cautio eſſet, in laudes tuas inciderem; hìc enim, ut Ovidii noſtri verbis utar,* area magna patet. *Sed in eas me abripi haud ſinam, quod tamen iis ſemper in more poſitum fuit qui aliquid in lucem edunt. Suum cuique ingenium, ſuus cuique mos eſt, te quivis alius & magnificè & prolixè laudaret, ad aſtra denique tolleret: ego verò taceo: non quod & tu qui ſis, & quale ſit munus illud quo te invictiſſimus ille Rex dignatus eſt, quum te Sereniſſimi Delphini ſtudia excellenti tua eruditione ac præceptis promovere juſſit & accendere, non norim ſatis; contrà verò quod quum probè utrumque teneam, certa ſim nunquam fore ut quiſquam chartis ſuis te ita poſſit intexere*

—— dictis ut non majora ſuperſint.

Vale diu, VIR ILLUSTRIS, *& vive.*

Lut. Pariſ. IV. Cal. Sext.
MDCLXXIV.



LECTORI
PRÆFATIO.

NULLA dubito, LECTOR, quin Opuſculum iſtud omnino diverſa hominum judicia experiatur: ideò mihi hæc pauca monendus es, non ſcilicet ne quod à fœmina prodeat, tibi imponi ſinas,

> ——— *nec ſexu ſpectentur ab iſto*
> *Quæ ferimus,*

ſed ut cùm attentè & ſedulò quid in eo præſtitum ſit conſideraris, tum demum quid tibi de illo videbitur, in medium proferas. Sat ſcio, pauca reperies, quæ ſi tibi minùs probabuntur, ſaltem probari non debeant. Eſt aliud etiam quod te monitum velim, nempe, ne me gloriola quadam, & famæ deſiderio hoc credas in lucem edere; neque enim hoc tanti eſt, ut inde mihi famam velim captare. Sed ut quandiu in hoc Opere verſata ſum, id unum me ob oculos habuiſſe, ut Patris mei amantiſſimi manibus juſta perſolverem: hunc tu

> ——— *ni te gelidum ſemota ſub axem*
> *Terra tulit.*

de Græcis & Latinis Litteris benè meritum ſcis. Nil igitur ejus memoriæ magis decorum fore putavi, quàm ſi Callimachum, quem is olim in ſuis ad Phædrum emendationibus promiſerat, excitarem; ſic enim,

quod summum in votis habeo, apud omnes, & quid ille in me contulerit, quâ curâ, quo me amore educarit, & quâ ego semper eum veneratione prosequi debeam, quo desiderio semper urgere, testabor satis. Et revera, LECTOR, nunquam qualem Respublica litteraria jacturam fecerit, quum Patrem meum amisit, in animum posses inducere: is de Cicerone, de Plauto, de Pindaro, Æschylo, Sophocle, & Euripide, illi restituendis cogitabat: sed aliter visum Superis; illum enim dum Heidelbergam, quo à Serenissimo Principe Ludovico Carolo D. G. Comite Palatino ad Rhenum, accitus fuerat, conabatur, sæva febris intra decimum secundum diem rapuit. Nec ideò tamen, LECTOR, ea omnia quæ Pater minabatur, perdita ducas; eveniet forsan tempus illud quo partem eorum, juvante Deo, præstare poterimus vel ego, vel frater meus, qui satis strenuè illius vestigiis conatur insistere. Restat ut quibusdam feneis capitibus respondeam, quæ, ut audio, satis mirari non possunt cur Tanaquillus ille Faber filiam litteris admovendam censuerit, neque illam potiùs domi pensa carpentem aluerit. Næ illa μωρίαν ὀφλισκάνοντα στώματα facilè videre poterant, hoc illum eo animo egisse, scilicet ut esset aliquando quæ eis socordiam & ignaviam exprobraret. Nunc de Callimacho pauca, is ubique mihi divino numine afflari semper visus est, sed tum maximè quum in laudes Ptolomæi Philadelphi delabitur; id enim tantâ arte perficit, ut quivis, qui vel minimum in hisce sapiat, liquidò dejeret Deum, non hominem, loqui. Quod vel ex Hymno primo licet conjicere, ibi enim ut

tandem ad Regem suum sine ulla affectatione deveniat, versus quosdam præmittit quibus Fabros Vulcani esse canit, Milites Martis, Dianæ Venatores, Reges verò Jovis; ubi deinde facili, ut voluerat, occasione, nunquam satis laudandos versus subjicit, paucos quidem, sed qui, meo saltem judicio, omnibus encomiis debeant anteponi.

Ἐν δ' ῥυηφενίην ἔβαλες σφίσιν, ἐν δ' ἅλις ὄλβον.

De Regibus loquitur,

Πᾶσι μὲν οὐ μάλα δ' ἶσον, ἔοικε δὲ τεκμήρασθαι
Ἡμετέρῳ μεδέοντι, περιπρὸ γὰρ εὐρὺ βέβηκεν
Ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἠοῖ νώσῃ,
Ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ' εὖτε νοήσῃ,
Οἱ δὲ τὰ μὲν πλειῶνι, τὰ δ' οὐχ ἑνί, τῶν δ' ἀπὸ πάμπαν
Αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασας δὲ μενοινήν.

& alibi,


Ὃς μάχεται μακάρεσι, ἐμῷ βασιλῆϊ μάχοιτο
Ὃς τις ἐμῷ βασιλῆϊ, καὶ Ἀπόλλωνι μάχοιτο.


Nonne, LECTOR, laudes alias ferè omnes, ad istas dices sordescere? & quid ille, si Regnatorem nostrum videret hodie, quem subjectæ Urbes, Provinciæ, Regna denique venerantur? Quid si illum intra duos menses ea properasse cerneret, quæ vix quisquam alius toto quantumvis longo vitæ decursu posset expedire? Quid denique, si Serenissimum Principem Delphinum summi certam progeniem Jovis contueretur?

Infra materiem tunc foret ipse suam.

LECTORI PRÆFATIO.

Tandem is verè est Callimachus, ex cujus lectione Græcæ Linguæ studiosis, Oratoriæ scientiæ cupidis, & Antiquitatis amantibus, tantus támque uberrimus fructus oriatur, ut illum non dico pueri, sed & homines non legere, & intelligere, sed & memoriæ mandare debeant: id nunc priores illi faciliùs assequi poterunt, quum nil sit in illo difficile, ab aliis, ut mos est, prætermissum, quod satis, ut mihi videor, non explanaverim; nil ab Interpretibus, vel Scholiaste peccatum, ut humanum est, quod non ego vel restituerim, vel monuerim. Quæ, ut opinor, à te impetrabunt, ut quidquid in his ex me vitii deprehendas, illud ignoscas, præsertim quum rescieris, vix tres menses huic Operi insumptos esse; festinavi enim, ut aliquid ego etiam ad studia Serenissimi Principis Delphini conferam, cujus tantum tamque altum ingenium est, ut eorum omnium qui id unum agunt ut illi, quod videat, legat, intelligat, suppeditent, diligentiam superet. Unde & spes est, ut nunc nil in *Orbe datur visere majus*, fore ut nil olim in Orbe detur visere doctius. Hoc spondet egregia illius & verè Principe digna indoles, spondet & illustrissimus ille Montauserii Dux, quem ideò ex tot tantísque periculis fata servavere, ut esset qui nobis talem Principem informaret. Vale.






ΚΑΛΛΙΜΑΧΟΥ ΒΙΟΣ

καὶ περὶ τῶν αὐτοῦ

ΣΥΓΓΡΑΜΜΑΤΩΝ.

ΚΑΛΛΙΜΑΧΟΣ υἱὸς Βάττου καὶ Μεσάτμας, Κυρηναῖος, Γραμματικὸς, μαθητὴς Ερμοκράτους τοῦ Ιασέως Γραμματικοῦ, γαμετὴν ἐσχηκὼς τὴν Εὐφράτου τοῦ Συρακουσίου θυγατέρα. ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν, ὁ νέος Καλλίμαχος, ὁ γράψας περὶ νήσων δι᾽ ἐπῶν. οὕτω δὲ γέγονεν ἐπιμελέστατος, ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ καὶ καταλογάδην πλεῖστα. καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω. Επὶ δὲ τῶν χρόνων ἦν Πτολεμαίου τοῦ Φιλαδέλφου. πρὶν δὲ συσταθῆ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν Ελευσῖνι κωμυδρίῳ τῆς Αλεξανδρείας, καὶ παρέτεινε μέχρι τοῦ Εὐεργέτου κληθέντος Πτολεμαίου. Ολυμπιὰς δὲ ἦν ρκζ', ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ Εὐεργέτης Πτολεμαῖος ἤρξατο τῆς βασιλείας. τῶν δὲ αὐτοῦ βιβλίων ἐστὶ καὶ ταῦτα.

Ἰοῦς ἄφιξις, Ἐλπίδες, Σεμέλη, Σατυρικὰ δράματα, Ἄργους οἰκισμοί, Τραγῳδίαι, Ἀρκαδία, Κωμῳδίαι, Γλαῦκος, Μέλη, Ἶβις, ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν, εἴς τινα Ἶβιν γενόμενον ἐχθρὸν τοῦ Καλλιμάχου. ἦν δὲ οὗτος Ἀπολλώνιος ὁ γράψας τὰ Ἀργοναυτικά. Μουσεῖον, Πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων, καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ΄ καὶ ρ΄, Πίναξ καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ᾽ ἀρχῆς γενομένων διδασκάλων, Πίναξ τῶν Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων, Μηνῶν προσηγορίαι κατὰ ἔθνος καὶ πόλεις, Κτίσεις νήσων καὶ πόλεων, καὶ μετονομασίαι, Περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν, Περὶ τῶν ἐν Πελοποννήσῳ καὶ Ἰταλίᾳ θαυμασίων, καὶ παραδόξων, Περὶ μετονομασίας ἰχθύων, Περὶ ἀνέμων, Περὶ ὀρνέων, Περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν, Θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν καὶ τόποις ὄντων συναγωγή.



Ex Lilio Giraldo Dial. 3. de Poët. Hiſt.


FUIT *Callimachus* ex urbe Libyæ notiſſima Cyrene, quam ex Thera, quæ priùs Calliſte dicebatur, Inſula profecti coloni condidere, ut pluribus oſtendit Pindarus & ejus Interpretes: qua de re & ſic ipſe Callimachus cecinit,

Καλλίστη τὸ πάροιθε, τὸ δ᾽ ὕστερον οὔνομα Θήρη,
Μήτηρ εὐίππου πατρίδος ἡμετέρης.

Legitur & ejuſdem Poëtæ Græcum carmen, quod ille ante funus ſibi compoſuit, in quo hæc eadem. Sunt qui Batti filium Callimachum exiſtiment, à quo & Battiades ipſe à Poëtis vocatur. Tametſi plerique à Rege potiùs Cyrenes conditore vocitatum velint. Habitus eſt Callimachus Grammaticus & Poëta egregius, Hermocratis diſcipulus Jaſii: uxorem verò duxit Euphratis Syracuſani filiam. Sororem ipſe habuit Megatimam, quæ Staſenoro nupſit, ex quibus natus eſt Callimachus junior, qui non incelebris Scriptor fuit, & de Inſulis accuratiſſimè opus edidit. Claruit inprimis Callimachus Philadelphi Ptolemæi temporibus, uſque ad Evergetis tempora, Olympiade circiter 125. Literas publicè docuit in Eleuſine Alexandriæ vico, dein eſt in Aulam Regis receptus, in qua aliquandiu verſatus eſt. Scribit Strabo Callimachum amicitiâ & familiaritate uſum fuiſſe Heracleti Halicarnaſſei: compoſuiſſe verò volumina pluſquam 80. numero traditur, inter quæ reponuntur hæc. *Hecale*, de nomine anus hoſpitæ Theſei: quod Poëma cum Græcis plerumque tum Latinis citatur Autoribus, Plinio, Petronio Arbitro. Scripſit & Jovis adventum in Ægyptum, Semelen, Argolicos colonos, Glaucum, Spes, hoc eſt Ἐλπίδας, Satyricas Fabulas, Tragœdias, Comœdias, Epodos, Mela, Tabulas diverſas, inter quas Legum Tabulæ cenſentur, & in iis illa fuit quæ à Gnathena Macronis Poëtæ amica condita fuerat, quam ipſe Callimachus in tertio Tabularum complexus fuerat, & Lex Sodalitia, hoc eſt νόμος συσσιτικὸς inſcribebatur. Scripſit item de Inſu-

larum situ : tametsi quidam referunt in sororis filium, cujus modò meminimus. Scripsit ad hæc de Fluminibus, de Ventis, de Piscibus, de Avibus, quorum mentio habetur in Comment. Apollonii. Scripsit item Causas, hoc est, τὰ Αἴτια; quod Opus cum Latinis cognitum fuit, tum Græcis maximè: quare mirum est, quosdam, alioqui doctos, impudenter hoc ignorasse apud Martialem. Hoc Opus imitatus est M. Varro, ut Servius Grammaticus annotavit. Hymnos prætereà scripsit Callimachus, quorum nonnulli adhuc leguntur. Illum celebrat Terentianus, qui in Jovem & Apollinem carmine Phalecio fuit conditus, in quo fatidicum puerum Branchum ab Apolline dilectum descripserat. Hephæstion tamen integrum illud Poëma fuisse existimat, Branchumque de pueri nomine vocitari. Scripsit & in Ibin, aliáque non parùm multa, quæ à Græcis Grammaticis referuntur.

Fallitur Lil. Gyrald. quum scribit Callimachum plus quàm volumina LXXX. edidisse. Debuit dicere DCCC. id enim disertè firmat quisquis ejus vitam Græcè scripsit, his verbis: καὶ ἔστιν αὐτοῦ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω'. Sed forsan erratum fuit operarum, qui *octoginta* scripsere, quum *octingenta* eis datum fuerit.





QUÆDAM
DE CALLIMACHO
TESTIMONIA VETERUM.

Cicer. Tuscul. Quæst. lib. 1.

CALLIMACHI quidem Epigramma in Ambraciotam Cleombrotum est, quem ait, cùm nihil illi accidisset adversi, è muro se in mare abjecisse, lecto Platonis Libro.

Idem ibid.

Quamquam non malè, ait Callimachus, multò sæpiùs lacrymasse Priamum, quàm Troïlum.

Ex Antholog.

Κειναγόρου. LIB. I.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ' αὐτῷ
  Ὠνὴρ τῆς Μουσέων πάντας ἔσεισε κάλως.
Ἀείδει δ' ΕΚΑΛΗΣ τε φιλοξείνοιο καλιὴν,
  Καὶ Θησεῖ Μαραθὼν οὓς ἐπέθηκε πόνους.
Τοῦ, σοὶ καὶ νεαρῶν χειρῶν σθένος εἴη ἀρέσθαι,
  Μάρκελλε, κλεινοῦ τ' αἶνον ἴσον βιότου.

Ἀδηλον.

Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς.
  Αἴτιος ὁ γράψας Αἴτια Καλλιμάχου.

LIB. III. ἀδηλον.

Ω μάκαρ ἀμβροσίῃσι συνέστιε φίλτατε Μούσαις,
  Χαῖρε καὶ ἐν Ἀΐδεω δώμασι Καλλίμαχε.

Εἰς τὸν αὐτόν.

Ω μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ
  Ἦρ' ἐτεὸν κεράων οὐδ' ἐλέφαντος ἔφυς.
Τοῖα γὰρ ἄμμιν ἔφηνας, ἅτ' οὐ πάρος ἀνέρες ἴσμεν,
  Ἀμφί τε ἀθανάτους, ἀμφί τε ἡμιθέους.

Εὖπέ μοι ἐκ Λιβύης ἀναείρας εἰς Ἑλικῶνα,
Ἤγαγες ἐν μούσαις πιερίδεσσι φέρων.
Αἱ δὲ οἱ εἰρομένῳ ἀμφ᾽ ὠγυγίων ἡρώων
Αἴτια, καὶ μακάρων, εἶρον ἀμειβόμεναι.

ΛΑΣΚΑΡΕΩΣ.

Ἴχνια μαστεύων ῥιθμίσατο σῶμα πέλωρον,
Πάνσοφος Ἡρακλέους πρίν ποτε πυθαγόρης.
Δούρας Ἀλεξάνδρου δ᾽ ἱππεῦς ἐνὶ πίονι νηῷ
Δηρὸν ἔην μεγάλης μνημόσυνον παλάμης.
Καὶ σέο δ᾽ οἷα λέοντος ὄνυξ, τόδε Καλλίμαχ᾽ ἥρως
Λείψανον ὑμνῶν λαμπρὸν ἔδειξε νόον,
Ὡς γόνιμον σοφίην πιστούμενον, εἶσιδε πηγήν,
Ἀέναον φωνήν, ἔνθεον ἁρμονίην.
Ὀκτάκις εἰδ᾽ ἑκατὸν σῖγα βίβλων ὤλεσεν αἰὼν
Ἀθυγαλέος, βαιὸν Ζεὺς τόδ᾽ ἔνευσε μέλος
Ἀρχέτυπον πελέθειν, θεῖον γένος ἦν ὥς ἀείδῃ,
Μορφῆς ὡς πλάσαις κυάνεον βλέφαρον
Μήποτε δ᾽ ἐξάρχοντος ἔοι σπάνις ὑμνοπόλοισι
Μολπῆς, χαλκογράφων ξυνὸν ἔθηκε τέχνη.

Callimachi Epigramma Imagini inſcriptum Jovis.

Quænam hæc forma? Dei. Cur verſa eſt? Fulgura lucis
Divinæ non fert debilis hæc acies.
Quid verò exiſtit tanquam uno corpore corpus?
Hic amor eſt. Si amor eſt, cur videt? At Jovis eſt.
Cur ita complicitis alis? nunquam evolat. At cur
In ſe convertit tela? Sui ille amor eſt.
Cur ferro ſine tela gerit? quia vulneris expers
Ille eſt, at veſter vulnerat & cruciat.

Horat. Epiſt. 2. lib. 2.

Diſcedo Alcæus puncto illius, ille meo quis?
Quis niſi Callimachus?

Propert. lib. III. Eleg. I.

Callimachi Manes, & Coi ſacra Philetæ,
In veſtrum, quæſo, me ſinite ire nemus.

Primus

Primus ego ingredior puro de fonte ſacerdos
Itala per Graïos orgia ferre choros.
Dicite quo pariter carmen tenuaſtis in antro,
Quóve pede ingreſſi, quámve bibiſtis aquam.

Idem lib. III. Eleg. V.

Intra Callimachi ſat erit placuiſſe libellos,
Et ceciniſſe modis, pure Poeta, tuis.

Idem.

Ut noſtris tumefacta ſuperbiat Umbria libris,
Umbria Romani patria Callimachi.

Ovid. Amor. lib. I. Eleg. XV.

Battiades ſemper toto cantabitur orbe,
Quamvis ingenio non valet, arte valet.

Idem.

Hoc, memini, quondam fieri non poſſe loquebar,
Et me, Battiades, judice, falſus erat.

Idem lib. III. De arte amandi.

Sit tibi Callimachi, ſit Coi nota Poëtæ,
Sit quoque vinoſi Teïa Muſa ſenis.

Idem De remed. am.

Callimachi numeris non eſt dicendus Achilles,
Cydippe non eſt oris, Homere, tui.

Idem ibid.

Callimachum fugito, non eſt inimicus amori:
Et cum Callimacho, tu quoque Coë, noces.

Hygin. lib. II. Aſtron.

Callimachus autem ait quod Menalippe Chironis Centauri filia deſierit venari, & colere Dianam, in quam ſpeciem ſuprà diximus eam Dianam convertiſſe.

Petron.

Digna ſacris, Hecale, quam Muſa loquentibus annis
Battiadæ veteris vivendo tradidit ævo.

E

Martial. Epigr. XXIII. *lib.* IV. *ad Thaliam de Brutiano.*

Dum tu lenta nimis, diúque quæris
Quis primus tibi, quísve sit secundus,
Graium quísve Epigramma comparabit,
Palmam Callimachus, Thalia, de se
Facundo dedit ipse Brutiano.

Idem Epigr. IV. *lib.* X. *ad Mamurram.*

Sed non vis, Mamurra, tuos cognoscere mores,
Nec te scire, legas Αἴτια Callimachi.

Strab. lib IX.

Εν τῇ συναγωγῇ τῶν ποταμῶν ὁ Καλλίμαχος γελᾷν φησὶν εἴ τις θαῤῥεῖ γράφειν τὰς τῶν Αθηναίων παρθένους.

——— ἀφύσσεσθαι καθαρὸν γάνος Ηριδανοῖο.

Idem lib. XVII.

Κυρηναῖος δ' ἐστὶ καὶ Καλλίμαχος, καὶ Ἐρατοσθένης, ἀμφότεροι τετιμημένοι παρὰ τοῖς τῶν Αἰγυπτίων βασιλεῦσι. ὁ μὲν ποιητὴς, ἅμα καὶ περὶ γραμματικὴν ἐσπουδακώς. ὁ δὲ καὶ ταῦτα, καὶ περὶ φιλοσοφίαν, καὶ τὰ μαθήματα εἴ τις ἄλλος διαφέρων.

Plutarch. lib. I. *de Placitis Philos.*

Τὸν δὲ Εὐήμερον καὶ Καλλίμαχος ὁ Κυρηναῖος αἰνίττεται ἐν τοῖς Ιάμβοις, γράφων,

Εἰς τὸ πρὸ τείχευς ἱερὸν ἀλέες δεῦτε,
Οὗ τὸν πάλαι χάλκειον ὁ πλάσας Ζᾶνα
Γέρων ἀλαζὼν ἄδικα βιβλία ψύχει.

Athenæus lib. VI.

Καλλίμαχος δέ ἐν τῷ παντοδαπῶν πινάκων, γράφων οὕτως, Δεῖπνα ὅσοι ἔγραψαν, χαιρεφῶν, κυρηβίων, &c.

Idem lib. VII.

Καλλίμαχος ἐν Εθνικαῖς ὀνομασίαις γράφει οὕτως, ἐγκρασίχολος, ἐρίτιμος, χαλκηδόνιοι, τριχίδια, χαλκὶς, ἴκταρ, ἀθερίνη.

Idem ibid.

Εν ἄλλῳ δὲ μέρει καταλέγων ἰχθύων ὀνομασίας φησὶν, ὄζαινα, ὀσμύλιον, θούριον, ἴωπες, ἐρίτιμοι, Αθηναῖοι.

Idem ibid.

Καλλίμαχος δ' ἐν Γαλατείᾳ,

——— ——— τὸν χρυσόφρυν,
Η μᾶλλον χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθῦν,
Η πέρκας, ὅσα τ' ἄλλα φέρει βυθὸς ἄσπετος ἅλμης.

Idem ibid.

Εν δὲ τοῖς Επιγράμμασιν ὁ αὐτὸς ποιητής φησιν, ἱερὸς δέ τις ἱερὸς ἰχθῦς.

Idem lib. XIII.

Καλλίμαχος δὲ ἐν τῷ περὶ ὀρνίθων διεστάναι φησὶ πορφυρίωνα πορφυρίδος.

Idem ibid.

Καλλίμαχος δὲ ἐν τῷ περὶ ὀρνέων ὡς διαφόρους ἐκτίθεται, φάσσαν, πυραλλίδα, περιστερὰν, τρυγόνα.

Idem ibid.

Μνημονεύει αὐτῶν [Φαλαρίδων] καὶ Καλλίμαχος ἐν τῷ περὶ ὀρνέων.

Idem ibid.

Καλλίμαχος ἐν τῷ τρίτῳ πίνακι τῶν νόμων.

Idem lib. XIV.

Οἶδα δὲ καὶ Καλλίμαχον ἐν τῷ τῶν παντοδαπῶν συγγραμμάτων πίνακι.

Ælianus var. Histor. lib. I. *cap.* XV.

Εἰ δέ τι Καλλιμάχῳ χρὴ προσέχειν, φάσσαν, καὶ πυραλλίδα, καὶ περιστερὰν, καὶ τρυγόνα, φησὶ μηδὲν ἀλλήλαις ἐοικέναι.

Schol. Æschyli in Prometh.

Ενθεν ὁ Καλλίμαχος πυριδέγμονά φησι [Σικελίαν] ποταμοὺς δὲ πυρὸς τοὺς κατὰ Σικελίαν ῥύακάς φησι.

Schol. Euripid. in Hecub.

Αἱ Λακεδαιμονίαι κόραι διημερεύουσιν ἄζωστοι, καὶ Αχίτωνες, ἱμάτιον ἔχουσαι πεπορπημένον ἐφ' ἑκατέρου τῶν ὤμων, καὶ Καλλίμαχος, ἴσκεν ἔτ' ἄζωστος χ' ἀπρόπορπος.

Schol. Aristoph. in νεφ.

Καλλίμαχος δὲ πρὸς αὐτοὺς [διθυράμβους] ἀποτεινόμενος οὕτω αὐτῶν καθάπτεται: ——— νόθοι δ' ἐκλώθησαν ἀοιδαί.

Idem in Σφηξ.

Ὁ Καλλίμαχός φησιν: —— ἣν ἐτείλαντο μύσται.

Idem in ὀρνιθ.

Καλλίμαχος, οὐκ ἀναγράφω τὸν πάππον.

Idem ibid.

Οὐκ ὀρθῶς δὲ Καλλίμαχος ἐν τοῖς ῥήτορσι καταλέγει [Πρόδικον] σαφῶς γὰρ ἐν τούτοις Φιλόσοφος.

Apollon. Schol. lib. 2. v. 708.

Ὅτι δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπεν. δράκαιναν δὲ αὐτήν φησιν εἶναι θηλυκῶς καλουμένην δελφύνην αὐτὴν ὁ Καλλίμαχος.

Schol. Hephæstion.

Δι' ὃ καὶ Καλλίμαχος μοῦσαν λικυθίαν τὴν τραγῳδίαν λέγει.

ΚΑΛΛΙΜΑΧΟΥ

ΚΑΛΛΙΜΑΧΟΥ
ΚΥΡΗΝΑΙΟΥ
ΥΜΝΟΙ.

CALLIMACHI
CYRENÆI
HYMNI.

CALLIMACHI CYRENÆI HYMNI.

IN JOVEM.

JOvis apud libationes quid aliud ſit celebrare
Melius, quàm Deum ipſum, ſemper magnum, ſemper regem,
Terrigenûm expulſorem, jura dantem cœlicolis?
Et quomodo ipſum, Dictæum canemus, an Lycæum?
In dubio admodum *hæret* animus: quoniam genus Jovis controverſum *eſt*.
Jupiter, te quidem *alii* Idæis in montibus aiunt [genitum,
Jupiter, te verò *alii* in Arcadia: vtri pater mentiti ſunt?
Cretenſes ſemper mendaces. etenim ſepulchrum, ô Rex, tuum,

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ
Εἰς τοὺς Καλλιμάχου ὕμνους.

ΕΙΣ ΤΟΝ ΔΙΟΣ ΥΜΝΟΝ.

ΖΗΝΟΣ ἔοι] Πότερον, Ζηνὸς σπονδῇσιν; ἢ, Ζηνὸς τὸ λώϊον ἀείδειν; Πηλογόνων] Τῶν γιγάντων, παρὰ τὸ ἐκ πηλοῦ γενέσθαι, φυτὰ τῆς γῆς. Δικταῖον] Κρῆτα. Δίκτη γὰρ ὄρος Κρήτης. Λυκαῖον]

ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ ΥΜΝΟΙ.

ΕΙΣ ΤΟΝ ΔΙΑ.

ΖΗΝΟΣ ἔοι τί κεν ἄλλο παρὰ σπονδῇσιν ἀείδειν
Λώϊον, ἢ θεὸν αὐτὸν, ἀεὶ μέγαν, αἰὲν ἄνακτα;
Πηλογόνων ἐλατῆρα, δικασπόλον οὐρανίδῃσι;
Πῶς καί νιν, Δικταῖον ἀείσομεν, ἠὲ Λυκαῖον;
Ἐν δοιῇ μάλα θυμός· ἐπεὶ γένος ἀμφήριστον.
Ζεῦ, σὲ μὲν Ἰδαίοισιν ἐν οὔρεσι φασὶ γενέσθαι,
Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι, πάτερ, ἐψεύσαντο;
Κρῆτες ἀεὶ ψεῦσται. καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο

Ἀρκάδα. Λυκαῖον, Ἀρκαδίας ὄρος. Ἀμφήριστον] ἀμφίλογον. Ἰδαίοισιν] Ἴδη, ὄρος Κρήτης καὶ Τροίας· νῦν δὲ τὸ Κρήτης φησί. Πότεροι] Ἐν ἤθει ἀναγνωστέον τὸ πότεροι. Κρῆτες ἀεί.] Παροιμία ἐπὶ τὸ κρητίζειν, ἐπὶ τοῦ ψεύδεσθαι, ἀπὸ Ἰδομενέως τοῦ Κρητὸς ῥηθεῖσα· ὃς λαχὼν μερίσαι τοῖς Ἕλλησι τὰ λάφυρα τοῦ Ἰλίου, τὰ κρείττω ἑαυτῷ περιεποιήσατο. Τάφον] Ἐν Κρήτῃ ἐπὶ τῷ τάφῳ τοῦ Μίνωος ἐπεγέγραπτο, Μίνωος τοῦ Διὸς τάφος. τῷ χρόνῳ δὲ τὸ, τοῦ Μίνωος, ἀπηλείφθη· ὥστε περιλειφθῆναι, Δίος τάφος. ἐκ τούτου οὖν ἔχειν λέγουσι Κρῆτες τὸν τάφον τοῦ Διός. ἢ ὅτι Κορύβαντες λαβόντες αὐτὸν ἐπὶ τὸ κρύψαι διὰ τὸν Κρόνον, προσεποιήσαντο τάφον αὐτῷ.

Κρῆτες ἐτεκτήναντο· σὺ δ᾽ οὐ θάνες· ἐσσὶ γὰρ αἰεί.
Ἐν δέ σε Παῤῥασίῃ Ῥείη τέκεν, ἧχι μάλιστα
Ἔσκεν ὄρος θάμνοισι περισκεπές. ἔνθεν ὁ χῶρος
Ἱερός· οὐδέ τί μιν κεχρημένον Εἰλειθυίης
Ἑρπετὸν, οὐδὲ γυνὴ ἐπιμίσγεται. ἀλλά ἑ Ῥείης
Ὠγύγιον καλέουσι λεχώϊον Ἀπιδανῆες.
Ἔνθά σ᾽ ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,
Αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κε τόκοιο
Λύματα χυτλώσαιτο, τεὸν δ᾽ ἐνὶ χρῶτα λοέσσαι.
Λάδων ἀλλ᾽ οὔπω μέγας ἔῤῥεεν, οὐδ᾽ Ἐρύμανθος
Λευκότατος ποταμῶν. ἔτι δ᾽ ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· μέλλεν δὲ μάλ᾽ εὔυδρος καλέεσθαι
Αὖτις. ἐπεὶ τημόσδε Ῥέη ὅτ᾽ ἐλύσατο μίτρην,
Ἦ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
Ἤειρεν, πολλὰς δὲ Μέλας ὤχησεν ἁμάξας·
Πολλὰ δὲ Καρίωνος ἄνω, διεροῦ περ ἐόντος,
Ἰλυοὺς ἐβάλοντο κινώπετα, νίσσετο δ᾽ ἀνὴρ
Πεζὸς ὑπὲρ Κρᾶθίν τε, πολύστειόν τε Μετώπην
Διψαλέος. τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.

Παῤῥασίῃ] Ορος Ἀρκαδίας τὸ Παῤῥάσιον, ἀπὸ Παῤῥάσου τοῦ Λυκάονος. Ἑρπετὸν] Οὔτε ἑρπετὸν, οὔτε γυνὴ χρῄζουσα τοῦ τεκεῖν ἐπιμίσγεται. Η οὕτως· οὐ χρῄζει εἰληθυίας, τουτέστι γεννήσεως. ὅτι πᾶν ζῶον εἰσιὸν ἐκεῖ μεμολυσμένον, ἄγονον ἐγίνετο, καὶ σκιὰν τὸ σῶμα αὐτοῦ οὐκέτι ἐποίει. Ἀπιδανῆες] Οἱ ἀρχαῖοι Ἀρκάδες. Λύματα] Καθάρματα. τὸ δὲ χυτλώσαιτο, ἀντὶ τοῦ ἀπολούσαιτο. Ἐρύμανθος δὲ, ποταμὸς Ἀρκαδίας. Ὅτ᾽ ἐλύσατο] Ὕστερον μετὰ τὸ τεκεῖν τὴν Ῥέαν. Σαρωνίδας] δρῦς. [illegible]

Cretenſes fabricarunt. tu autem non periiſti : es enim ſemper.
In Parrhaſia autem te Rhea peperit, ubi maximè
Erat mons nemoribus obtectus : inde locus ille *eſt*
Sacer : neque eum aliquod expertum Lucinam
Reptile, neque mulier adit *ulla :* ſed ipſum Rheæ
Veterem nominant puerperii lectum Apidanes.
Hîc te poſtquam mater magno depoſuit ex utero,
Statim quærebat rivum aquæ, quo partus *ſui*
Retrimenta ablueret, tuúmque corpus purgaret.
Ladon verò magnus nondum fluebat , neque Erymanthus
Limpidiſſimus amnium : ſed adhuc ſicca erat omnis
Arcadia : *talis* futura tamen , ut maximè aquoſa nominaretur [ſolvit, *i. peperit,*
Iterum. quoniam tum temporis quo Rhea zonam
Sanè multas deſuper quercus liquidus Jaon
Produxit , multos etiam Melas *fluvius* tum geſtavit currus : [ſit humidus,
Multæ præterea ſupra Carionem, quamlibet nunc
Luſtra conſtruxerunt feræ. ibat etiam vir
Pedeſter tum ſuper Crathin, tum ſuper ſcrupuloſum Metopen
Sitibundus:ſed multa aquæ copia ſub pedibus latebat.

τοὺς συστρόφους καὶ συνεστραμμένον τὸν φλοιὸν ἔχειν. Τὸ δὲ ἤειρεν, καὶ ὤχησεν, ἀντὶ τοῦ ἐβάστασε. Καρίωνος] Λείπει ἡ ὑπέρ. πολλὰ δ᾽ ὑπὲρ τοῦ Καρίωνος ἑρπετὰ τοὺς φωλεοὺς ἐποίησαν. Κινώπετα] Τὰ θηρία, οἱονεὶ κινώπεδα, παρὰ τὸ ἐν τῷ ἐδάφει κινεῖσθαι. τὸ δὲ νίσσετο, ἀντὶ τοῦ ἤρχετο, ἐπορεύετο. Κρᾶθιν] Κρᾶθις, ποταμὸς Ἀρκαδίας. Πολύστειον δὲ, τὸν πολύψηφον, καὶ πολυπάτητον. Μετώπην] Ποταμὸν Ἀρκαδίας.

Itaque in hac difficultate constituta dicebat veneranda Rhea,
Terra chara, parito & tu *undam*: tui enim dolores leves *sunt*.
Dixit: & cùm denuò extendisset Dea magnum in sublime cubitum,
Percussit montem sceptro. at ille duobus locis multum discessit,
Effuditque magnum fluxum. Tum corpus *à se* perpurgatum,
O Rex, tuum fasciis involvit: & Nedæ te dedit portandum
In recessum Cretensem (ut clàm *ibi* educareris)
Natu maximæ nympharum, quæ ipsi tunc obstetricabantur:
Natu *inquam* maximæ, post Stygem & Philyren.
Neque vanam reposuit Dea *illi* gratiam, quippe fluvium
Illum Nedam appellavit. Atque is olim copiosus, juxta ipsum
Cauconum oppidum, quod Leprium vocatum est,
In mare defertur: & vetustissimam sanè hanc aquam
Posteri bibunt Lycaoniæ ursæ. *i. Arcades.*
Postquam verò Thenas reliquit, ad Cnossum deferens,
Jupiter pater, te nympha: (Thenæ autem proximæ Cnosso) hinc istum
Ibi tum decidit tibi, Deus, omphalos: *i. umbilicus:*
Omphalium deinceps locum nominant Cydones.
Jupiter, te etiam Corybantum sociæ ulnis amplexæ sunt,

Τόθι χρόα.] Τὸν σὸν χρῶτα, ὦ ἄνα, σπείρωσε φαιδρυνάσα. Νέδη] Ὄνομα νύμφης Ὠκεανίνης, θρεψαμένης τὸν Δία. Μαιώσαντο] ἔθρεψαν. Φιλύρην τε] Μήτηρ Χείρωνος τοῦ Κενταύρου. Καυκώνων] Ὄρος Ἀρκάδων ὁ Καύκων. Λέπριον δέ, ἀπὸ Λεπρέα τοῦ Ποσειδῶνος· ὃς προσκα-

Καί ῥ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια Ῥείη,
Γαῖα φίλη, τέκε καὶ σύ. τεαὶ δ' ὠδῖνες ἐλαφραί.
Εἶπε, καὶ ἀντανύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
Πλῆξεν ὄρος σκήπτρῳ. τὸ δέ οἱ δίχα πουλὺ διέστη,
Ἐκ δ' ἔχεεν μέγα χεῦμα· τόθι χρόα φαιδρυνάσα,
Ὦνα, τεὸν σπείρωσε· Νέδη δέ σε δῶκε κομίσσαι
Κευθμὸν ἔσω Κρηταῖον, (ἵνα κρύφα παιδεύοιο)
Πρεσβυτάτη νυμφέων αἵ μιν τότε μαιώσαντο,
Πρωτίστη γενεῇ, μετά τε Στύγα, Φιλύρην τε.
Οὐδ' ἁλίην ἀπέτισε θεὴ χάριν, ἀλλὰ τὸ χεῦμα
Κεῖνο Νέδην ὀνόμηνε. τὸ μέν ποθι πουλὺ κατ' αὐτὸ
Καυκώνων πτολίεθρον, ὃ Λέπριον πεφάτισται,
Συμφέρεται Νηρῆϊ· παλαιότατον δέ μιν ὕδωρ
Υἱωνοὶ πίνουσι Λυκαονίης ἄρκτοιο.
Εὖτε Θενὰς ἀπέλειπεν, ἐπὶ Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἡ νύμφη σε· (Θεναὶ δ' ἔσαν ἐγγύθι Κνωσσοῦ)
Τουτάκι τοι πέσε, δαῖμον, ἀπ' ὀμφαλός· ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες.
Ζεῦ, σὲ δὲ Κυρβάντων ἑταραὶ προσεπηχύναντο

λεσάμενος εἰς ἀδηφαγίαν Ἡρακλέα, καὶ ὑπ' ἐκείνου ἡττηθεὶς ἐφονεύθη. Λυκαονίης ἄρκτοιο.] Τῆς πρότερον λεγομένης Καλλιστοῦς, Λυκάονος δὲ θυγατρός· ἐξ ἧς καὶ Διὸς μεταβληθέντος εἰς Ἄρτεμιν, γεννᾶται ὁ Ἀρκάς· ἀφ' οὗ οἱ Ἀρκάδες. Θενὰς] Θεναί, πόλις καὶ ἄλσος. Τουτάκι] τηνικαῦτα. Κύδωνες] Ἔθνος Κρήτης. Προσεπηχύναντο] Εἰς τοὺς πήχεις ἔλαβον.

Δικταῖαι Μελίαι, σὲ δὲ κοίμισεν Ἀδρήστεια
Λίκνῳ ἐνὶ χρυσέῳ· σὺ δ᾽ ἐθήσαο πίονα μαζὸν
Αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.
Γέντο γὰρ ἐξαπιναῖα Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσι, τά τε κλείουσι Πάνακρα.
Οὖλα δὲ Κούρητές γε περὶ πρύλιν ὠρχήσαντο,
Τεύχεα πεπλήγοντες, ἵνα Κρόνος οὔασιν ἠχὴν
Ἀσπίδος εἰσαΐοι, καὶ μὴ σέο κουρίζοντος.
Καλὰ μὲν ἠέξευ, καλὰ δ᾽ ἔτραφες, οὐράνιε Ζεῦ·
Ὀξὺ δ᾽ ἀνήβησας, ταχινοὶ δέ τοι ἦλθον ἴουλοι.
Ἀλλ᾽ ἔτι παιδνὸς ἐὼν ἐφράσσαο πάντα τέλεια·
Τῷ τοι καὶ γνωτοὶ, προτερηγενέες περ ἐόντες,
Οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
Δηναιοὶ δ᾽ οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί·
Φάντο πάλον Κρονίδῃσι διάτριχα δώματα νεῖμαι·
Τίς δέ κ᾽ ἐπ᾽ Οὐλύμπῳ τε καὶ Ἄϊδι κλῆρον ἐρύσσαι,
Ὃς μάλα μὴ νενίηλος; ἐπ᾽ ἰσαίῃ γὰρ ἔοικε
Πήλασθαι· τὰ δὲ τόσσον ὅσον διὰ πλεῖστον ἔχουσι.

Ἀδρήστεια] Ἀδελφὴ Κουρήτων. Λίκνῳ ἐνί.] Ἐν γὰρ λίκνοις τὸ παλαιὸν κατεκοίμιζον τὰ βρέφη, πλοῦτον καὶ καρποὺς οἰωνιζόμενοι. λίκνον οὖν, τὸ κόσκινον· ἢ τὸ κουνίον, ἐν ᾧ τὰ παιδία τιθέασιν. Ἀμαλθείης] Οὕτως ἐκαλεῖτο ἡ αἲξ τὸν Δία θρέψασα. λέγεται δὲ ἀπὸ μὲν τοῦ ἑνὸς κέρατος ἀμβροσίαν ῥεῖν, ἀπὸ δὲ τοῦ ἄλλου νέκταρ. Ἔβρως] ἔφαγες. Ἐξαπιναῖα] Τουτέστιν, ἐξαίφνης ἐγένετο ἡ Ἴδη πλέα μέλιτος. Οὖλα] Κατὰ κλῆρον. Ὑγιεινῶς. Περὶ πρύλιν] ἐνόπλιον. Ἐπιδαίσιον] μεμερισμένον. Δηναιοὶ]

Dictææ Meliæ: te circumgestavit Adrastea
Cunis in aureis: tu autem traxisti pingue uber
Capræ Amaltheæ: & insuper dulcem favum comedisti.
Extiterunt enim subitò opera Panacridis apiculæ
Idæis in montibus, quos vocant Panacra.
Commodùm item Curetes te circum armatum tripudium luserunt,
Arma concutientes: ut Saturnus auribus sonitum
Clypei audiret, non autem te vagientem.
Pulchrè quidem crevisti, pulchréque educatus es, ô cœlestis Jupiter:
Citò etiam adolevisti; & velox tibi oborta est lanugo.
Sed & quum adhuc adolescentulus esses, perspexisti omnia plenè.
Ideóque tibi fratres, quamvis natu priores essent,
Cœlum non inviderunt ut tu haberes, communem *aliàs* domum.
Prisci autem nullo modo veraces fuerunt Poëtæ,
Qui dicebant sortem filiis Saturni trifariam domos dispertivisse.
Quis etenim de cælo & inferno sortem mitteret,
Nisi esset planè stupidus? De re enim æquali convenit
Sortem mittere: hæc autem tam longè, quàm longissimè *inter se* distant.

οἱ παλαιοί. Τίς δέ κ᾽ ἐπ᾽ Οὐλύμπῳ τε] Τίς δ᾽ ἂν φρόνιμος ἐπὶ Ὀλύμπῳ καὶ ᾅδῃ κληρωθῆναι ἀνάσχοιτο; Νενίηλος δὲ, ὁ ματαιόφρων καὶ ἐστερημένος τοῦ αἰόλλειν καὶ κινεῖν τὸν νοῦν. Ἐπ᾽ ἰσαίῃ γὰρ] Ὁ κλῆρος ἐπ᾽ ἴσων πραγμάτων χωρεῖ· ὁ οὐρανὸς δὲ καὶ ὁ ᾅδης πλεῖστον διαφέρουσι.

Mentirer *hæc dicens*, auditoris *stupidi* quæ persuadeant *veteres Poëtæ* auribus.
Non te deorum regem sortes constituerunt: sed opera manuum,
Tuaque Potentia & Robur, quod etiam collocasti prope currum tuum. [nuntiam
Sed constituisti & avem omnium præstantissimam,
Tuorum auguriorum: quæ utinam amicis meis fausta ostendas. [non tu navium
Elegisti præterea ex juvenibus omnium optimos:
Peritos, non virum scutatum, non poëtam *elegisti*:
Sed hæc quidem Diis minoribus illic reliquisti,
Alia curanda aliis: tu verò elegisti urbium principes
Ipsos: quorum sub manibus *est* agricola, quorum peritus militiæ,
Quorum remex, quorum *sunt* omnia: & quid non dominantis sub potestate?
Primò quidem fabros canimus *esse* Vulcani:
Milites deinde, Martis: venatores item, Chitones
Dianæ: Phœbi denique, qui lyræ bene sciunt modos.
At ex Jove sunt reges: quoniam Jove nihil regum
Divinius *est*. ideóque tuum illis decrevisti ordinem:
Dedistíque ut urbes custodiant. túque ipse præsides
Celsis in civitatibus, inspector tam *eorum* qui legibus

Ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν.] Λείπει, λέγων. τὸ δὲ, πεπίθοιεν, ἀντὶ τοῦ, πεῖσαι. Ἐσσῆνα] Ἐσσὴν κυρίως ὁ βασιλεὺς τῶν μελισσῶν· νῦν δὲ ὁ τῶν ἀνδρῶν. Πέλας εἵσαο δίφρου] Τὸ κράτος πλησίον ἵδρυσας τοῦ δίφρου. Θήκαο δ' οἰωνὸν] τὸν ἀετόν. Εἵλεο δ' αἰζηῶν] Νῦν καθόλου λέγει τῶν ἀνθρώπων. Ἐμπεράμους] τοὺς ἐμπόρους. Γεωμόρος] ὁ γεωργός. Ὑδείομεν] λέγομεν. Ἐπακτῆρας] κυνηγέτας. Χιτώνης] Νηλεὺς ὁ Κόδρου,

Ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν.
Οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν, ἔργα δὲ χειρῶν,
Σή τε βίη, τό, τε κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.
Θήκαο δ' οἰωνὸν μέγ' ὑπείροχον ἀγγελιώτην
Σῶν τεράων· ἅτ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
Εἵλεο δ' αἰζηῶν ὅ, τι φέρτατον· οὐ σύ γε νηῶν
Ἐμπεράμους, οὐκ ἄνδρα σακέσπαλον, οὐ μὲν ἀοιδόν.
Ἀλλὰ τὰ μὲν μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας,
Ἄλλα μέλειν ἑτέροισι· σὺ δ' ἐξέλεο πτολιάρχους
Αὐτούς, ὧν ὑπὸ χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
Ὧν ἐρέτης, ὧν πάντα· τί δ' οὐ κρατέοντος ὑπ' ἰσχύν;
Αὐτίκα χαλκῆας μὲν ὑδείομεν Ἡφαίστοιο·
Τευχηστὰς δ', Ἄρηος· ἐπακτῆρας δέ, Χιτώνης
Ἀρτέμιδος· Φοίβου δέ, λύρης εὖ εἰδότας οἴμους·
Ἐκ δὲ Διὸς βασιλῆες. ἐπεὶ Διὸς οὐδὲν ἀνάκτων
Θειότερον. τῷ καί σφι τεὴν ἐκρίναο λῆξιν.
Δῶκας δὲ πτολίεθρα φυλασσέμεν· ἵζεο δ' αὐτὸς
Ἄκρῃς ἐν πολίεσσιν, ἐπόψιος οἵ τε δίκῃσι

ἀποικίαν στελλόμενος ἀπὸ Ἀθηνῶν, ἔλαβε χρησμὸν ἐγεῖραι ξόανον τῇ Ἀρτέμιδι ἀπὸ παγκάρπων ξύλων· καὶ δή ποτε ἑορτῆς τελουμένης τῇ Ἀρτέμιδι ἐν τῇ Χιτώνῃ (ἔστι δὲ δῆμος Ἀττικῆς) ἀπελθὼν εὗρε δρῦν πάμπολυν καὶ διάφορον ἔχουσαν ἠρτημένον καρπόν. καὶ ἐκ τούτου ἐποίησεν ἄγαλμα τῇ θεᾷ, καὶ οὕτω μετῴκησεν ἐν Μιλήτῳ. ἀπὸ τοῦ δήμου οὖν ἔσχε τὴν ὀνομασίαν ἡ Ἄρτεμις. ἢ ὅτι τικτομένων τῶν βρεφῶν ἀνετίθεσαν τὰ ἱμάτια τῇ Ἀρτέμιδι. Τάξιν] Λαχμόν. κλήρωσιν. Ἄκρῃς ἐν πολίεσσιν] Ἐν ταῖς ἀκροπόλεσι καθέζῃ. ὁρῶν τὰ δίκαια.

Λαὸν ὑπὸ σκολιῆς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν.
Ἐν δὲ ῥυηφενίην ἔβαλες σφίσιν, ἐν δ' ἅλις ὄλβου·
Πᾶσι μὲν, οὐ μάλα δ' ἶσον. ἔοικε δὲ τεκμήρασθαι
Ἡμετέρῳ μεδέοντι· περὶ πρὸ γὰρ εὐρὺ βέβηκεν.
Ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἠοῖ νοήσῃ·
Ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ' εὖτε νοήσῃ·
Οἱ δὲ, τὰ μὲν πλειῶνι, τὰ δ' οὐχ ἑνί. τῶν δὲ ἀπὸ πάμπαν
Αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασας δὲ μενοινήν.
Χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων,
Δῶτορ ἀπημονίης. τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
Οὐ γένετ', οὐκ ἔσται. τίς κεν Διὸς ἔργματ' ἀείσει;
Χαῖρε, πάτερ, χαῖρ' αὖθι· δίδου δ' ἀρετήν τ' ἄφενός τε.
Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ, ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

Ῥυηφενίην] Πλοῦτον. σύγκειται δὲ ἡ λέξις παρὰ τὸ, ῥύδην, καὶ, ἄφενος. τουτέστι, τὴν τοῦ πλούτου ῥύσιν. Ἡμετέρῳ μεδέοντι] Περὶ τοῦ Πτολεμαίου ταῦτα λέγει. Οἱ δὲ] Δηλαδὴ οἱ ἄλλοι βασιλῆες. Πλειῶνι] ἐνιαυτῷ. Ἄνην] Ἄνυσιν. πλείωσιν. Αὐτὸς] Ὦ Ζεῦ. Οὔτ' ἀρετῆς] Καὶ Ἡσίοδος, πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

Populum ſub iniquis, quàm eorum qui contrà gubernant.
Adjeciſti quoque opulentiam ipſis, & quod ſatis *eſt* fortunarum.
Et hoc omnibus quidem, ſed non ex æquo tamen. par eſt *hoc* colligere
Ex noſtro rege. nam is latè circum *opulentia* progreſſus eſt.
Veſperi ille perficit de quibus manè cogitaverit:
Et veſperi quidem ardua: parva autem, quamprimum cogitaverit.
Alii verò parva uno anno, magna non uno *perficiunt:* ab aliis verò prorſus
Tu ipſe effectionem amoviſti, & conſilia eorum perfregiſti.
Salve plurimùm, ô Saturnie maxime, dator bonitatum,
Dator incolumitatis. tua verò opera quis celebret?
Non fuit, nec erit. quis Jovis opera celebret?
Salve iterum atque iterum. Da *nobis* & virtutem & opes.
Neque ſine virtute opulentia poteſt homines beare,
Neque ſine opulentia virtus. da ergo & virtutem & opes.

IN APOLLINEM HYMNUS.

QUANTUM iſte Apollinis commotus eſt laureus ramus!
Quantum hoc totum antrum! procul procul *ſit*, quiſquis profanus.
Et certè oſtia præclaro pede Phœbus tundit.
Non vides? annuit Deliaca ſuave quid palma
Derepente, & olor in aëre pulcrè modulatur.
Ipſa vos nunc repagula forium recumbite,
Ipſi etiam vos vectes. Deus enim jam non longè *abeſt*.
At vos, juvenes, ad cantum & chorum vos apparate.
Apollo non cuivis apparet, ſed *ei* quiſquis vir bonus.
Qui ipſum viderit, magnus hic: qui non videt, abjectus ille *eſt*.
Videbimus *te*, ô Apollo, & nunquam erimus abjecti.
Neque *ego* tacitam citharam, neque tacitum greſſum,
Phœbo huc in medium procedente, pueros habere *velim*: [raſuri,
Siquidem celebraturi ſint olim nuptias, & canitiem
Et muros condituri ſuper antiqua fundamenta.

ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΟΣ ΥΜΝΟΝ.

ΟΙΟΝ ὁ τῶ᾽πόλλωνος] Ἀντὶ τοῦ, οἵως, ὅπως. ἔστι δὲ θαυμασμός. λέγεται δὲ ἐπὶ τῶν μαντευομένων τὰ θεῖα καὶ ἐπιδημεῖν καὶ ἀποδημεῖν. καὶ ὅταν μὲν ἐπιδημῶσι, τὰς μαντείας ἀληθεῖς εἶναι· ὅταν δὲ ἀποδημῶσι, ψευδεῖς. ὡς γοῦν ἐπιδημοῦντος τοῦ θεοῦ, ταῦτά φησιν ὁ Καλλίμαχος. Οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος] Δεικτικῶς. λέγεται δὲ ὅτι παρὰ τῷ δένδρῳ

ΕΙΣ ΤΟΝ ΑΠΟΛΛΩΝΑ ΥΜΝΟΣ.

ΟΙΟΝ ὁ τῶ᾽πόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ,
Οἷα δ᾽ ὅλον τὸ μέλαθρον. ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός.
Καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει.
Οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοῖνιξ
Ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
Αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
Αὐταὶ δὲ κληῖδες. ὁ γὰρ θεὸς οὐκέτι μακράν.
Οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ὡ᾽πόλλων οὐ παντὶ φαείνεται, ἀλλ᾽ ὅ, τις ἐσθλός.
Ὅς μιν ἴδῃ, μέγας οὗτος· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
Ὀψόμεθ᾽ ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ᾽ οὔποτε λιτοί.
Μήτε σιωπηλὴν κίθαριν, μήτ᾽ ἄψοφον ἴχνος
Τοῦ Φοίβου, τοὺς παῖδας ἔχειν, ἐπιδημήσαντος·
Εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι,
Ἑστήξειν δὲ τὸ τεῖχος ἐπ᾽ ἀρχαίοισι θεμέθλοις.

ἐγέννησεν ἡ Λητὼ τὸν Ἀπόλλωνα. Ο δὲ κύκνος] ὄρνεον ἱερὸν Ἀπόλλωνος. Αὐτοὶ νῦν] Ἀντὶ τοῦ, αὐτόματοι. Αὐταὶ δὲ] αὐτόματοι. Ἀνακλίνεσθε] Ὅμηρος, Ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ᾽ ἐπιθεῖναι. Εἰ τελέειν μέλλουσι γάμον] Εἰ μέλλουσι καὶ γάμων ἐντὸς γενέσθαι, καὶ πολιᾶσαι. καὶ γὰρ ἀκειρεκόμης ὁ Ἀπόλλων. Ἑστήξειν] Ἀπὸ τοῦ, ἵστημι, παρακείμενος, ἕστηκα· ἀπὸ τούτου ποιοῦσιν οἱ Συρακούσιοι ἐνεστῶτα, ἑστήκω· οὗ ὁ μέλλων, ἑστήξω, καὶ τὸ ἀπαρέμφατον, ἑστήξειν.

Ηγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ᾽ ἀεργός.
Εὐφημεῖτ᾽ ἀΐοντες ἐπ᾽ Ἀπόλλωνος ἀοιδῇ.
Εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
Η κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
Οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
Οππότ᾽ ἰὴ παιῆον, ἰὴ παιῆον ἀκούσῃ.
Καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
Ος τις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,
Μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης.
Ιὴ, ἰὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
Ος μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο·
Ος τις ἐμῷ βασιλῆϊ, καὶ Ἀπόλλωνι μάχοιτο·
Τὸν χορὸν ὡπόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
Τιμήσει. δύναται γὰρ, ἐπεὶ Διῒ δεξιὸς ἧσται.
Οὐδ᾽ ὁ χορὸς μετὰ Φοῖβον ἐφ᾽ ἓν μόνον ἦμαρ ἀείσει.
Εστι γὰρ εὔυμνος· τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;
Χρύσεα τὠπόλλωνι, τό, τ᾽ ἐνδυτὸν, ἥ τ᾽ ἐπιπορπὶς,
Η τε λύρη, τό, τ᾽ ἄεμμα τὸ Λύκτιον, ἥ τε φαρέτρη·
Χρύσεα καὶ τὰ πέδιλα. πολύχρυσος γὰρ Ἀπόλλων,
Καί τε πολυκτέανος. Πυθῶνί κε τεκμήραιο.

Χέλυς] ἡ κιθάρα. Εὐφημεῖ] Ἡσυχάζει. γαληνιᾷ. Κλείουσιν] ὑμνοῦσι. Κινύρεται] Θρηνεῖ. κλαίει. Αἴλινα] ἤτοι θρηνητικά. Ἀναβάλλεται] ὑπερτίθεται. Βασιλῆϊ] Τῷ Πτολεμαίῳ τῷ Εὐεργέτῃ. Διὰ δὲ τὸ φιλολόγον αὐτὸν εἶναι, ὡς θεὸν τιμᾷ. Τό, τ᾽ ἐνδυτὸν, ἥ τ᾽ ἐπιπορπὶς] Ἐνδυτὸν,

Admiratus

Admiratus ſum pueros, poſtquam chelys non am-
pliùs otioſa fuit. [tum.
Favete linguis vos audientes, propter Apollinis can-
Favet & pelagus, quando celebrant poëtæ
Aut citharam aut tela divina Lycorei Apollinis.
Neque Thetis Achillem deplorat, miſera mater,
Quoties Io pæan, io pæan, audiverit.
Sed & lacrymoſum *ſuos* intermittit dolores ſaxum,
Quod in Phrygia, humidus lapis, induruit,
Marmor *illud,* pro muliere *Niobe* ærumnoſum quid
dehiſcente.
Io io reſonate: malum eſt diis reluctari.
Qui reſiſtit diis beatis, meo regi reſtiterit.
Qui meo regi, etiam Apollini reſtiterit.
Cœtum hunc Apollo, quum ex ſententia ejus ceci-
nerit, [ſit collocatus.
Honore afficiet. poteſt enim, quum à Jovis dextra
Atqui haud cœtus iſte Apollinem vno tantùm die
celebrabit. [Phœbum laudarit?
Eſt enim laudum vbique plenus. quis non facilè
Aurea *ſunt* Apollini & indumentum, & fibula,
Et lyra, & arcus Lyctius, & pharetra:
Aurei *ſunt* etiam calcei. nam multo auro Phœbus
Et omnium rerum copia affluit. (*id quod* è Pythone
colligas)

τὸ ἱμάτιον· Ἐπιπορπὶς δὲ, ἡ περόνη. Τό, τ᾽ ἄεμμα] ἡ νευρά· παρὰ τὸ ἑκατέρωθεν δεδέσθαι. Λύκτος δ᾽ ἐστὶ πόλις Κρήτης. Πυθῶνί κε τεκμήραιο] Ὅμηρος, Οὐδ᾽ ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἐνὶ πετρηέσσῃ.

Quinetiam semper formosus, & semper juvenis *est.*
nunquam Phœbo, [nis.
Ne quidem fœmineis quantum lanugo increvit ge-
Capilli verò odorifera in campum destillant olea.
Non adipem crines Apollinis destillant,
Sed ipsam panaceam. In urbe autem quacunque illæ
Guttæ in terram deciderint, omnia immortalia red- duntur.
Arte præterea nemo tam copiosus quàm Apollo.
Ille sagittatorem sortitus est virum, ille poëtam.
Phœbo enim & sagitta curæ est & carmen.
Illius etiam *sunt* calculi sortilegi, & vates. Ex Phœ- bo item
Medici didicerunt depulsionem mortis.
Phœbum, etiam Nomium, *i. pastoralem,* cognomi- namus, ex illo *tempore*
Ex quo juxta Amphrysum jugales pavit equas,
Impuberis amore inflammatus Admeti.
Facilè equidem pascuum sit plenum, neque capræ
Egeant hœdis, admixtæ ovibus, in quas Apollo
Pascentes oculum *benignum* conjecerit: neque sine lacte
Oves, neque infœcundæ *fuerint:* sed omnes sub se agnum habuerint:

Θηλείαις] ἁπαλαῖς. Χνόος] Ψόφος. Ξυσμός. Λείβουσιν ἔλαια] Σημείωσαι ὅτι τὸ ἔλαια πληθυντικῶς παρ' οὐδενὶ ἄλλῳ εὕρηται. Πανάκειαν] τὴν ἴασιν. Πρώκες.] Δρόσοι. Σταγόνες. Ακήελα δὲ, ἀσθενῆ τὰ νοσήματα. ἢ μᾶλλον, ἄφθαρτα καὶ ἄνοσα πάντα γίνεται. Αμφιλαφὴς] Εστι γὰρ τοξότης, ἀοιδὸς, μάντις, ἰατρὸς, ποιμήν. Κείνου δὲ θριαὶ] Μαντικαὶ ψῆφοι εἰσὶν αἱ θριαί. λέγεται δὲ αὐτὰς εὑρῆσθαι ὑπό τινων τριῶν νυμφῶν. διὸ τότε

Καί κεν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβου
Θηλείαις οὐδ' ὅσσον ἐπὶ χνόος ἦλθε παρειαῖς·
Αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
Οὐ λίπος Απόλλωνος ἀποστάζουσιν ἔθειραι,
Αλλ' αὐτὴν πανάκειαν. ἐν ἄστει δ' ᾧ κεν ἐκεῖναι
Πρώκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.
Τέχνῃ δ' ἀμφιλαφὴς οὔ τις τόσον ὅσσον Απόλλων.
Κεῖνος ὀϊστευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν·
Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.
Κείνου δὲ θριαί, καὶ μάντιες· ἐκ δέ νυ Φοίβου
Ιητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν, ἐξ ἔτι κείνου
Εξότ' ἐπ' Αμφρυσσῷ ζευγήτιδας ἔτρεφεν ἵππους,
Ηϊθέου ὑπ' ἔρωτι κεκαυμένος Αδμήτοιο.
Ρεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες
Δεύοιντο βρεφέων ἐπιμηλάδες, ᾗσιν Απόλλων
Βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν. οὐδ' ἀγάλακτοι
Οἴες, οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι·

καὶ θριαὶ ὠνομάσθησαν, οἱονεὶ τριαί. Εξότ' ἐπ' Αμφρυσσῷ] Αμφρυσσόν οἱ μὲν, ποταμὸν Θεσσαλίας, οἱ δὲ πόλιν. Ζευγήτιδας δὲ, τὰς ὑπὸ ζυγὸν ἀγομένας. Ηϊθέου] Αγάμου. Απαιδος. Βουβόσιον] Ο τόπος ἔνθα οἱ βόες νέμονται. τὸ δὲ Επιμηλάδες, ἀντὶ τοῦ αἱ μετὰ τῶν μήλων νεμόμεναι. καὶ γὰρ καὶ τὰς αἶγας μῆλα λέγουσιν. ὡς Ομηρος ἐπεξηγεῖται, Μῆλ' ὄϊές τε καὶ αἶγες ἰαύεσκον. Εἰ δὲ Μενεμηλάδες γράφεται, ἀντὶ τοῦ θήλειαι ὄϊν. Ακυθοὶ] Αγονοι. κύθος γὰρ τὸ κύημα.

Ἡ δέ κε μουνοτόκος, διδυμοτόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
Ἄνθρωποι. Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
Κτιζομέναις, αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
Τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
Καλῇ ἐν Ὀρτυγίῃ, περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὁ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
Δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
Ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
Ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ·
Καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ,
Δεξιὸς οἰκιστῆρι· καὶ ὤμοσε τείχεα δώσειν
Ἡμετέροις βασιλεῦσιν. ἀεὶ δ' εὔορκος Ἀπόλλων.
Ὤπολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
Πολλοὶ δὲ Κλάριον· (πάντη δέ τοι οὔνομα πουλύ)

Καλῇ ἐν Ὀρτυγίῃ περιηγέος] Κυκλοτεροῦς. οὕτω γὰρ στρογγύλη λίμνη ἐν Ὀρτυγίᾳ καλεῖται. Ὀρτυγία δὲ ἡ Δῆλος, ἀπὸ τοῦ τὴν Λητὼ, εἰς ὄρτυγα μεταβληθεῖσαν, εἰς τὴν Δῆλον ἐλθεῖν, φεύγουσαν τὴν Ἥραν. Κυνθιάδων] Κύνθος, ὄρος τῆς Δήλου. Ἔφρασε Βάττῳ] Λέγεται ὅτι οὗτος ὁ Βάττος ἄφωνος ἦν· ἀπῆλθεν οὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, ἐπὶ τῷ τὸν θεὸν ἐρωτῆσαι περὶ τῆς φωνῆς. ὁ δὲ ἔχρησεν αὐτῷ οὐκέτι περὶ φωνῆς, ἀλλὰ περὶ μετοικίας. καὶ ὁ Βάττος πεισθεὶς τῷ χρησμῷ, ἦλθεν εἰς τὴν Λιβύην· λέγεται δὲ εἶναι πολλοὺς λέοντας ἐν ταύτῃ τῇ χώρᾳ. ἐπιδημήσας οὖν ὁ Βάττος, καὶ λέοντα αἰφνιδίως θεασάμενος, τῇ τοῦ φόβου ἀνάγκῃ βιασθεὶς φθέγξασθαι,

Et quæ unipara *erit*, gemellipara repente fuerit.
Phœbum inſuper qui ſequuntur, illi civitates dimenſi ſunt
Homines. Phœbus enim ſemper civitatibus gaudet
Condendis, & ipſe fundamenta *earum* Phœbus ponit.
Quadrimus *adhuc* prima fundamenta Phœbus fixit
In pulcra Ortygia, curvam prope paludem *Inopi.*
Diana venata capita aſſiduè caprearum
Cynthiadum afferebat, ipſe verò compingebat aram Apollo.
Conſtruxit quidem cornibus fundamenta, compegitque altare
Ex cornibus: cornua item circum parietes poſuit.
Sic didicit prima fundamenta Phœbus jacere.
Phœbus etiam fœcundam meam civitatem oſtendit Batto:
Et Libyam ingredienti corvus præivit populo,
Auſpicatus coloniæ ductor: & juravit ſe mœnia daturum
Noſtris regibus: & ſemper ſtat jurejurando Apollo.
O Apollo, multi te Boëdromium appellitant,
Multi etiam Clarium (undique enim nomen tibi multiplex)

διέρρηξε τὴν φλέβα ἥτις τὴν ἐκείνου φωνὴν ἐπεῖχε· καὶ οὕτω φωνήεις ἐγένετο, καὶ τὴν Κυρήνην ἔκτισεν· ὅθεν ἐστὶν ὁ Καλλίμαχος. Κόραξ ἡγήσατο] Ὡς ἀνακείμενος τῷ Ἀπόλλωνι ὁ κόραξ. Ἡμετέροις βασιλεῦσι] Τῷ Πτολεμαίῳ. Βοηδρόμιον καλέουσι] Πολέμου ἐπελθόντος τοῖς Ἀθηναίοις, ἔχρησεν αὐτοῖς ὁ θεὸς, μετὰ βοῆς ἐπιθέσθαι τοῖς πολεμίοις. οἱ δὲ, τοῦτο ποιήσαντες, ἐνίκησαν. ὅθεν Βοηδρόμιος Ἀπόλλων.

Sed ego Carneum. mihi patrium sic *nomen est.*
Sparta tibi, Carnee, prima *fuit* sedes:
Altera dein There: tertia verò, urbs Cyrenæ.
Te quidem è Sparta septimus in familia OEdipi
Adduxit in Theræam coloniam: è Thera autem
Sanus Aristoteles Asbystidi invexit terræ:
Construxitque tibi admodum elegans templum, inque civitate
Instituit festum anniversarium, in quo multi
Supino casu procumbunt in coxendicem, ô Rex, tauri.
Io io Carnee, multis precibus venerande, tuæ quidem aræ
Flores gerunt in vere, quotquot horæ
Variæ *tum* producunt, zephyro inspirante rorem,
Hyeme verò crocum dulcem. & semper tibi perpetuus ignis *est:*
Neque unquam hesternum absumit carbonem cinis.
Equidem lætatus est vehementer Apollo, quando balthei. *i. armati* Bellonæ
Viri tripudiarunt cum flavis Libyssis,
Solennes ubi ipsis Carnei festi advenissent horæ.
Sed tum nondum ad fontem Cyrenes poterant accedere

Καρνεῖον] Απὸ Κάρνου τοῦ μάντεως, τοῦ ἀναιρεθέντος ὑπὸ Αλήτου, ὃς ἦν τῶν Ηρακλειδῶν. ὀργισθεὶς οὖν Απόλλων λοιμὸν ἐνέβαλεν. Εκτον γένος Οἰδιπόδαο] Οἰδίπους, οὗ Πολυνείκης, οὗ Θέρσανδρος, οὗ Αὐτεσίων, οὗ Τισαμενὸς, οὗ Θήρας. ὃς ἀπῴκησεν εἰς Θήραν τὴν νῆσον, τὴν νῦν οὕτω κληθεῖσαν. Οὖλος Αριστοτέλης] Ο αὐτὸς καὶ Βάττος λέγεται. Οὖλος δὲ, ὁ ὑγιὴς, ὡς παρὰ τὴν φωνήν. καὶ γὰρ ὁ δοθεὶς, αὐτῷ χρησμὸς τοῦτο παρεμφαίνει, Βάττ' ἐπὶ φωνὴν ἦλθες. ἄναξ δέ σε Φοῖβος ἀνώγει Ες Λιβύην

Αὐτὰρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώϊον οὕτω.
Σπάρτη τοι, Καρνεῖε, τόδε πρώτιστον ἕδεθλον,
Δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνη.
Εκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
Ηγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
Οὖλος Αριστοτέλης Ασβυστίδι πάρθετο γαίῃ·
Δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον· ἐν δὲ πόληϊ
Θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἔνι πολλοὶ
Υστάτιον πίπτουσιν ἐπ' ἰσχίον, ὦ ἄνα, ταῦροι.
Ιὴ ἰὴ, Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμοὶ
Ανθεα μὲν φορέουσιν ἐν εἴαρι, τόσσα περ ὧραι
Ποικίλ' ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην,
Χείματι δὲ κρόκον ἡδύν. ἀεὶ δέ τοι ἀέναον πῦρ,
Οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
Ηρ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ενυοῦς
Ανέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσης,
Τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
Οἱ δ' οὔπω πηγῆς Κυρῆς ἐδύναντο πελάσσαι

ἐλθεῖν μηλοτρόφον οἰκιστῆρα. Ασβυστίδι δὲ, τὴν λευκὴν λέγει, παρὰ τὴν ἄσβεστον. τοιαύτη γὰρ ἡ Λιβύη λευκόγειος. Τελεσφορίην] Εορτήν. Θυσίαν. Κρόκον] Κρόκος, τὸ ἄνθος· παρὰ τὸ ἐν κρύει θάλλειν. Ζωστῆρες περιφραστικῶς, οἱ πολεμικοί. Ωρχήσαντο μετὰ ξανθῇσι] Ως ἐπιτελούντων ἐν τῇ Λιβύῃ ἑορτὴν Καρνείῳ Απόλλωνι. Τέθμιαι] Νόμιμοι. Ωρισμέναι. Κυρῆς] Κρήνη ἐν Κυρήνῃ. Δωριέας δὲ, τοὺς Ηρακλείδας λέγει, τοὺς ἀπὸ Σπάρτης μετοικήσαντας εἰς Θήραν, καὶ ἀπὸ Θήρας εἰς Κυρήνην.

Δωριέες, πυκινὴν δὲ νάπαις Ἄζιλιν ἔναιον.
Τοὺς μὲν ἄναξ ἴδεν αὐτὸς, ἔην δ' ἐπεδείξατο νύμφη
Στὰς ἐπὶ Μυρτούσης κερατώδεος· ἧχι λέοντα
Ὑψηῒς κατέπεφνε, βοῶν σίνιν Εὐρυπύλοιο.
Οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
Οὐδὲ πόλει τόσ' ἔνειμεν ὀφέλσιμα τόσσα Κυρήνη,
Μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὐτοὶ
Βαττιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
Ἰὴ ἰὴ παιῆον, ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
Ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
Αἰνὸς ὄφις· τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστόν· ἐπηΰτησε δὲ λαὸς,
Ἰὴ ἰὴ Παιῆον, ἵει βέλος. εὐθύ σε μήτηρ
Γείνατ' ἀοσσητῆρα· τὸ δ' ἐξ ἔτι κεῖθεν ἀείδη.
Ὁ φθόνος Ἀπόλλωνος ἐπ' οὔατα λάθριος εἶπεν,
Οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐδ', ὅσα πόντος, ἀείδει.
Τὸν φθόνον ὡ'πόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν,
Ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ


Ἄζιλιν] Ὄρος καὶ ποταμὸς Λιβύης. Τοὺς μὲν ἄναξ] Ἥρως ὁ Ἀπόλλων. Στὰς ἐπὶ Μυρτούσης κερατώδεος] Μύρτουσα, ὄρος Λιβύης. Κερατώδεος δὲ, τῆς κέρατα ἐχούσης, ἤτοι ἀκρωρείας. φαίνεται δὲ ἡ Κυρήνη φονεύσασα ἐν τῇ Λιβύῃ λέοντά τινα, βλάπτοντα τὰς βοῦς τοῦ Εὐρυπύλου. ἦν δὲ αὕτη κυνηγέτις, θυγάτηρ Ὑψέως. Ὑψηῒς] ἡ Κυρήνη. Ἁρπακτύος] Τῇ Κυρήνῃ

Dorienſes:

Dorienſes: verùm denſam nemoribus Azilin incolebant. [nymphæ *Cyrene*,
Hos quidem rex *Apollo* ipſe vidit, ſuæque oſtendit
Stans ſuper Myrtuſſa, monte cornuto: ubi leonem
Hypſeis *Cyrene* occidit, boum Eurypyli raptorem.
Haud iſto choro vidit diviniorem alium Apollo:
Nec civitati *ulli* tot largitus eſt commoda quot Cyrene:
Recordatus priſtini *Cyrenes* raptus: neque ſanè ipſi
Battiadæ plus Phœbo Deum ullum coluerunt.
Io io Pæan, audimus: quoniam iſtud
Delphicus tibi primùm carmen invenit populus:
Quo tempore jaculationem aurearum demonſtraſti ſagittarum. [ſtia,
Nam Pythonem tibi deſcendenti occurrit ſæva be-
Horribilis ſerpens. cum tu quidem occidiſti, aliam ſuper aliam [pulus,
Mittens velocem ſagittam. acclamavit autem po-
Io io Pæan, mitte ſagittam: quoniam te mater
Peperit auxiliatorem. Atque hoc ex illo canit *populus*.
Invidia in aures Apollinis clanculum dixit,
Non admiror poëtam, qui non *tantum* quantum mare cantat.
Invidiam Apollo pede repulit, & ſic dixit,
Aſſyrii fluvii copioſus *eſt* fluxus, ſed multas

κυνηγετούσῃ ἐν ὄρει Θεσσαλίας τῷ Πηλίῳ συνεκαθεύδησεν Ἀπόλλων, ἐξ ἧς τίκτεται ὁ Ἀρισταῖος. Οὐκ ἄγαμαι τὸν ἀοιδὸν ὃς] Ἐγκαλεῖ διὰ τούτων τοὺς σκώπτοντας αὐτὸν μὴ δύνασθαι ποιῆσαι μέγα ποίημα, ὅθεν ἠναγκάσθη ποιῆσαι τὴν Ἑκάλην. Ἀσσυρίου ποταμοῖο μέγας] Τὸν τῶν Περσῶν λέγει, τὸν καλούμενον Εὐφράτην.

Sordes terræ & multam in aqua illuviem trahit.
Cereri autem non ex omni *fluvio* aquam libant Me-
 lissæ *sacerdotes:*
Sed qui purus & nulla sorde infectus proserpit
Fonte è sacro parvus latex, summus *aquarum* flos.
Salve rex *Apollo:* sed invidus, ubi perditio est, illuc
 abeat.




IN DIANAM HYMNUS.

DIANAM (neque enim leve est canentibus,
 si ejus obliviscantur)
Celebramus, cui tela & retia curæ sunt,
Et tripudium multiplex, & in montibus ludi.
Principium hinc ducentes, quomodo, quum patris
 insideret genibus, [tulerit,
Puella adhuc adolescens, hæc verba ad patrem pro-
Da mihi, tata, virginitatem in æternum conser-
 vare, [certare possit.
Et nominum multitudinem: ne *hac* mecum Phœbus
Da etiam sagittas & arcus. sine, pater: non à te
 pharetram, [gittas
Nec postulo magnum arcum. (mihi Cyclopes sa-
Confestim fabricabunt, mihi etiam flexilem arcum)

ΕΙΣ ΤΟΝ ΑΡΤΕΜΙΔΟΣ ΥΜΝΟΝ.

ΑΡΤΕΜΙΝ οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι] Τὸ ἑξῆς, Ἄρτεμιν ὑμνοῦμεν, ἀρχόμενοι. Ἐψιάασθαι] Διατρίβειν. Παίζειν. Ἐφεζομένη γονάτεσσιν] Ὅμηρος, Οὐδέ τι μιν παῖδες ποτὶ γούνασι παππάζουσιν. Ἔα

Λύματα γῆς καὶ πολλὸν ἐφ᾽ ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ᾽ οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι,
Ἀλλ᾽ ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
Χαῖρε ἄναξ· ὁ δὲ Μῶμος, ἵν᾽ ὁ Φθόνος, ἔνθα νέοιτο.



ΕΙΣ ΤΗΝ ΑΡΤΕΜΙΝ ΥΜΝΟΣ.

ΑΡΤΕΜΙΝ, οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λα-
 θέσθαι,
Ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται,
Καὶ χορὸς ἀμφιλαφὴς, καὶ ἐν οὔρεσιν ἑψιάασθαι.
Ἀρχόμενοι ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
Παῖς ἔτι κουρίζουσα, τάδε προσέειπε γονῆα,
Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
Καὶ πολυωνυμίην· ἵνα μή μοι Φοῖβος ἐρίζῃ.
Δὸς δ᾽ ἰοὺς καὶ τόξα. ἔα πάτερ· οὔ σε φαρέτρην
Οὐδ᾽ αἰτέω μέγα τόξον, ἐμοὶ Κύκλωπες ὀϊστοὺς
Αὐτίκα τεχνήσονται, ἐμοὶ δ᾽ εὐκαμπὲς ἄεμμα.

πάτερ] Τὸ Ἔα δασυνόμενον καὶ ὀξυνόμενον, τὸ ἴδε, ἢ τὸ ἀγαθὸν δηλοῖ· ψιλούμενον δὲ καὶ παροξυνόμενον, τὸ συγχώρει, καὶ δίδου. καὶ τὸ ὑπῆρχεν ὡς, Εἴ ποτε Κόδρος ἔα. Ἄεμμα] ἡ νευρά.

Αλλὰ φαεσφορίην τε, καὶ ἐς γόνυ μέχρι χιτῶνα
Ζώννυσθαι λεγνωτὸν, ἵν' ἄγρια θηρία καίνω.
Δὸς δέ μοι ἑξήκοντα χορήτιδας Ωκεανίνας,
Πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους·
Δὸς δέ μοι ἀμφιπόλους Αμνισίδας εἴκοσι νύμφας,
Αἵτε μοι ἐνδρομίδας τε, καὶ, ὁππότε μηκέτι λύγκας
Μήτ' ἐλάφους βάλλοιμι, θοοὺς κύνας εὖ κομέοιεν.
Δὸς δέ μοι οὔρεα πάντα. πόλιν δέ μοι ἥν τινα νεῖμον
Ην τινα λῇς· σπαρνὸν γὰρ ὅτ' Αρτεμις ἄστυ κάτεισιν.
Οὔρεσιν οἰκήσω· πόλεσιν δ' ἐπιμίξομαι ἀνδρῶν
Μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
Τειρόμεναι καλέουσι βοηθόον· ᾗσί με μοῖραι
Γεινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν·
Οττι με καὶ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα
Μήτηρ, ἀλλ' ἀμογητὶ φίλων ἀπεθήκατο κόλπων.
Ως ἡ παῖς εἰποῦσα, γενειάδος ἤθελε πατρὸς
Αψασθαι, πολλὰς δὲ μάτην ἐτανύσατο χεῖρας,

Αλλὰ φαεσφορίην τε] Η ὅτι λαμπαδοῦχος· ἡ αὐτὴ γὰρ τῇ Εκάτῃ. ἢ ὅτι τοὺς μαιευομένους προσάγει εἰς φῶς. Λεγνωτὸν] Τὸ ἔχον ὤαν· τουτέστι τὸ ἀπόληγον τοῦ ἱματίου. Λέγναι γὰρ, αἱ ὦαι, τὰ λώματα, οἱ κρωσσοί. ἅπερ Ομηρος θυσάνους καλεῖ. Τῆς ἑκατὸν θύσανοι παγχρύσεοι. τὸ δὲ ἑξῆς, αἵτε μοι, ὁπότε δὴ μὴ λύγκας ἐνδρομίδας τε καὶ θοοὺς κύνας εὖ κομέοιεν. Αμίτρους] Αζώστους. Μὴ διαπαρθενευομένας. μίτρας γὰρ ἐζώννυντο, ἃς ἔλυον ὅταν ἔμελλον διαπαρθενεύεσθαι. Η ὅτι οἱ ἄγαμοι γυμνοὶ ἐβάδιζον. Αμνισίδας] Αμνισὸς, ποταμὸς Κρήτης· ἀφ' οὗ Κρητικάς. Ενδρομίδας] Τὰ ὑποδήματα. Ην τινα νεῖμον] Περιττὸν τὸ ἥν. Λῇς.] Αντὶ τοῦ θέλεις, κατ'

Sed ut lucem feram, & ad genua uſque tunicam
Succingam fimbricatam, quando agreſtes feras perimo.
Da mihi item ſexaginta tripudii ſocias Oceaninas,
Omnes novem annos natas, omnes adhuc puellas diſcinctas.
Da quoque mihi pediſſequas Amniſides viginti [nymphas:
Quæ mihi & veſtes villoſas, & ubi interdum neque lynces
Neque cervos arcu dejecero, celeres canes bene [curent.
Da præterea mihi omnes montes: urbem verò mihi quamcunque imperti,
Quamcunque vis. rarum enim *hoc erit* quum Diana in urbem ibit:
Montibus inhabitabo: urbibus verò admiſcebor hominum,
Solummodo quum acutis pariendi doloribus mulieres
Oppreſſæ vocarint *me* opitulatricem: quibus me [Parcæ,
Ut primùm nata ſum, ſorte *quadam* præfecerunt adjuvandis:
Quoniam & quum me pareret & in utero ferret, non doluit
Mater *Latona*, ſed ſine labore è ſuo depoſuit utero.
Sic puella loquuta, barbam tentavit patris
Apprehendere: ſed ſæpiùs fruſtra extendit manus,

ἀποβολὴν τῆς θε συλλαβῆς. κέχρηται πολλαχοῦ τῇ λέξει καὶ ὁ Θεόκριτος, Λῇς ποτὶ τᾶν νυμφᾶν, λῇς αἰπόλε, τῇδε καθίξας. Σπαρνὸν] σπάνιον. Μοῦνον ὅτ' ὀξείαισιν ὑπ' ὠδίνεσσι γυναῖκες] Η αὐτὴ γάρ ἐστι τῇ Εἰλειθυίᾳ.

Uſquedum attingeret. Pater autem annuit cum riſu,
Dixítque, *eam* demulcens, Quando mihi tales *libe-*
ros deæ
Pepererint, parvi ego æmulæ Junonis [trò
Iracundiam æſtimavero. habe, filia, quæcumque ul-
Poſtulas: ſed & alia pater multò majora dabit.
Tredecim tibi urbes, & turrim non unam dabo:
Tredecim tibi urbes, quæ neminem alium Deum
honorare
Scient quàm ſolam te, & Dianam *ſolam* invocare.
Multas etiam communiter *cum aliis* urbes dimetien-
das, [bus erunt
Tam mediterraneas quàm inſulas *dabo:* & in omni-
Dianæ aræ ac nemora. ſed & viis
Præteris & portubus inſpectrix. Sic ille loquutus, [la
Orationem ſuam confirmavit capite. ibat autem puel-
In Leucum, *i. album*, Cretæ montem, frondeſcen-
tem ſylva:
Inde ad Oceanum. Multas verò *ibi* delegit nymphas,
Omnes novem annos natas, omnes adhuc puellas
diſcinctas. [& Tethys,
Lætabatur Cæratus fluvius vehementer: lætabatur
Propterea quòd Latoniæ filias miſiſſet ſocias.
Hinc deinde ad Cyclopas tranſiit, eóſque reperit

Μέχρις] Περιττόν ἐστι. Τυτθόν κεν] Ἀντὶ τοῦ οὐδὲ τυτθόν. Καὶ Ἀρτέμιδος καλέεσθαι] Ἀπὸ κοινοῦ τὸ εἴσεται. Διαμετρήσασθαι] Ἀπὸ κοινοῦ τὸ, ὀπάσω σοὶ μετὰ τὰς λ· κοινῇ δέ σοι καὶ τῷ Ἀπόλλωνι πολλαί. Ἐπεκρήνωσε καρήατι] Ὅμηρος, -ἦ, τι κεν κεφαλῇ κατανεύσω. Λευκὸν ἐπὶ Κρηταῖον] Ὄρος Κρήτης. ἑνικῶς αὐτὸ εἴρηκε, Λευκὰ δὲ ὄρη λέγονται πληθυντικῶς. Χαῖρε δὲ Καίρατος] Ποταμὸς Κρήτης, καὶ πόλις ἡ Καίρατος, οὕτω λεγομένη.

Μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας·
Φῆ δὲ καταῤῥέζων, Ὅτε μοι τοιαῦτα θέαιναι
Τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης
Χωομένης ἀλέγοιμι. φέρευ τέκος ὅσσ' ἐθελημὸς
Αἰτίζεις, καὶ δ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει·
Τρὶς δέκα τοι πτολίεθρα καὶ οὐχ ἕνα πύργον ὀπάσσω·
Τρὶς δέκα τοι πτολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν
Εἴσεται, ἀλλὰ μόνην σε, καὶ Ἀρτέμιδος καλέεσθαι.
Πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι,
Μεσσόγεως, νήσοις τε· καὶ ἐν ἁπάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα. καὶ μὲν ἀγυιαῖς
Ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος. Ὡς ὁ μὲν εἰπὼν
Μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δὲ κούρη
Λευκὸν ἐπὶ Κρηταῖον ὄρος κεκομημένον ὕλῃ·
Ἔνθεν ἐπ' Ὠκεανόν· πολέας δ' ἐπελέξατο νύμφας,
Πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
Χαῖρε δὲ Καίρατος ποταμὸς μέγα, χαῖρε δὲ Τηθὺς,
Οὕνεκα θυγατέρας Λητωΐδι πέμπεν ἀμορβούς.
Αὖθι δὲ Κύκλωπας μετεκίαθε· τοὺς μὲν ἔτετμε

Ἀμορβούς] Ἀκολούθους· παρὰ τὸ ἅμα πορεύεσθαι. Τοὺς μὲν ἔτετμε] Τὸ ἑξῆς, τοὺς μὲν ἔπετμεν ἐπ' ἄκμοσιν Ἡφαίστοιο. νῆσος δέ ἐστιν ἡ Λιπάρα Σικελίας, ἔνθα ἦν τὰ χαλκεῖα Ἡφαίστου. ἔστι δὲ μία τῶν Αἰολίδων. λέγεται δ' ὅτι σίδηρα διάφορα θέντες ἐν αὐτῇ ναῦται, ἕωθεν εὑρήκασιν αὐτὰ ἐκ τῆς ἀναδόσεως τοῦ πυρὸς πεπανθέντα· καὶ διὰ τοῦτο ἐκλήθη ἡ νῆσος Λιπάρα, διὰ τὸ αὐτὰ διάφορα ὄντα, ἓν γενέσθαι.

Νήσῳ ἐνὶ Λιπάρῃ. Λιπάρη νέον, ἀλλὰ τότ' ἔσκεν
Οὔνομά οἱ Μελιγουνίς. ἐπ' ἄκμοσιν Ἡφαίστοιο
Ἑσταότας περὶ μύδρον. ἐπείγετο γὰρ μέγα ἔργον·
Ἱππείην τετύκοντο Ποσειδάωνι ποτίστρην.
Αἱ νύμφαι δ' ἔδδεισαν ὅπως ἴδον αἰνὰ πέλωρα,
Πρηόσιν Ὀσσείοισιν ἐοικότα· πᾶσι δ' ὑπ' ὀφρὺν
Φάεα μουνόγληνα, σάκει ἴσα τετραβοείῳ,
Δεινὸν ὑπογλαύσσοντα. καὶ ὁππότε δοῦπον ἄκουσαν
Ἄκμονος ἠχήσαντος, ἐπεὶ μέγα πουλύ τ' ἄημα
Φυσάων, αὐτῶν τε βαρὺν στόνον. αὖε γὰρ Αἴτνη,
Αὖε δὲ Τειναχρίη, Σικανῶν ἕδος, αὖε δὲ γείτων
Ἰταλίη· μεγάλην δὲ βοὴν ἐπὶ Κυρνὸς ἀΰτει.
Εὖθ' οἵγε ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων,
Ἢ χαλκὸν ζείοντα καμινόθεν, ἠὲ σίδηρον,
Ἀμβολαδὶς τετύποντες. ἐπεὶ μέγα μοχθήσειαν.
Τῷ σφέας οὐκ ἐτάλασσαν ἀκηδέες Ὠκεανῖναι
Οὔτ' ἄντην ἰδέειν, οὔτε κτύπον οὔασι δέχθαι.
Οὐ νέμεσις· κείνους δὲ καὶ αἱ μάλα μηκέτι τυτθαὶ
Οὐδέποτ' ἀφρικτὶ μακάρων ὁρόωσι θύγατρες.

Μύδρον] Σίδηρον πεπυρακτωμένον, παρὰ τὸ μύρεσθαι καὶ διαρρεῖν. Πρηόσιν Ὀσσείοισι] Ὄσσα, ὄρος Μακεδονίας. Φάεα μουνόγληνα] Καὶ Ἡσίοδος, Κυκλοτερὴς δ' ὀφθαλμὸς ἔεις. Ὑπογλαύσσοντα] Ὑπολάμποντα. ὅθεν καὶ γλαῦκος. Αὐτῶν τε βαρὺν στόνον] ἀπὸ κοινοῦ τὸ ἔδδεισαν. Αἴτνη] Ὄρος Σικελίας. Κυρνος] Νῆσος ἀντικρὺ τῆς Σικελίας ἡ Κύρνος ἐστί. Εὖθ' οἵ γε ῥαιστῆρας] Τὸ ἑξῆς, ἐπεὶ μέγα πολύ τ' ἄημα, εὖθ' οἵ γε ῥαιστῆρας.

Insula

Insula in Lipara (Lipara nunc, sed tum erat
Nomen ei Meligunis) super incudibus Vulcani
Circumstantes massam. Urgebat enim *ipsos* grave opus.
Equestre fabricabant Neptuno aquarium. *id est, in quo suos ille equos aquaretur.*
Nymphæ verò pertimuerunt cùm aspexissent horrida monstra
Jugis Ossæ *montis* similia (omnibus autem infra supercilium
Lumina erant unocula, clypeo æqualia quadruplici,
Torvum sublucentia) & cùm strepitum audivissent
Incudis resonantis, itémque magnum ac vastum spiritum,
Folliúmque ipsorum gravem gemitum. insonabat enim Ætna,
Insonabat & Trinacria, Sicanorum sedes: insonabat & proxima
Italia: magnus item strepitus in Corsica resonabat.
At postquam illi *Cyclopes* malleis sublatis super humeros,
Aut æs candens è camino *eductum*, aut ferrum
Alternè ferientes *erant* (quandoquidem valdè laborabant:)
Hìc ipsos non potuerunt securæ Oceaninæ
Ne contra quidem aspicere, neque sonitum auribus percipere.
Neque hoc ægrè ferendum *in ipsis.* illos enim quæ etiam non ampliùs sunt ita parvæ
Nunquam sine tremore aspiciunt divorum filiæ.

λέγει δὲ τὰς σφύρας, ῥαιστῆρας, παρὰ τὸ ῥαίειν καὶ φθείρειν τὰ ὑποπίπτοντα. Ἀμβολαδὶς] Ἐκ διαδοχῆς. Ἀκηδέες] ἄφοβοι·

E

Sed cùm puellarum aliqua immorigera adversùs matrem fecerit,
Mater quidem Cyclopes ſuam contra filiam advocat,
Argen, aut Steropen: è domo verò interiori
Provenit Mercurius, carbone oblitus atro.
Statim *is* puellam territat: at ipſa genitricis
Subit in gremium, ponens ſuper oculos utramque manum.
Tu verò puella *Diana* etiam longè antè, trima adhuc exiſtens,
Ubi venit Latona *in Liparam*, te in ulnis geſtans,
Vulcano eam arceſſente, ut munera tui videndi gratia daret:
Bronte te in robuſta collocante genua,
Pectore è magno *Brontæ* hirſutas excerpſiſti ſetas:
Evulſiſtique violenter. Itaque depilis etiamnum adhuc
Intermedia pectoris manet pars, ut quando temporibus
Hominis inſidens capillos depaſta eſt alopecia:
Proinde valdè animoſa ipſos ſic tum affata es:
Cyclopes, mihi aliquem Cydonium agedum arcum,
Aut ſagittas, cavúmque clauſtrum ſagittarum, *i. pharetram*,
Fabricate. etenim ego *ſum* Latonæ, ſicut Apollo.
Quòd ſi ego ſagittis agreſtem porcum, aut aliquam prægrandem
Feram venatu cepero, eam ſanè Cyclopes comedent.

Αἰθῇ] Τῇ κεκαυμένῃ. Τῇ μελαίνῃ. Μορμύσσεται] ἐκφοβεῖ. Ὀπτήρια δοίη] Τὰ ὑπὲρ τοῦ ἰδεῖν δῶρα. Ὤλοψας] Ἀπέτιλας. Ἐλέπισας. Κόμην ἐπενεί-

Ἀλλ' ὅτε κουράων τις ἀπειθέα μητέρι τεύχοι,
Μήτηρ μὲν Κύκλωπας ἑῇ ἐπὶ παιδὶ καλιστρεῖ,
Ἄργην, ἢ Στερόπην· ὁ δὲ δώματος ἐκ μυχάτοιο
Ἔρχεται Ἑρμείης σποδιῇ κεχρημένος αἰθῇ.
Αὐτίκα τὴν κούρην μορμύσσεται· ἡ δὲ τεκούσης
Δύνει ἔσω κόλπους, θεμένη ἐπὶ φάεσι χεῖρας.
Κούρα, σὺ δὲ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα,
Εὖτ' ἔμολεν Λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα,
Ἡφαίστου καλέοντος ὅπως ὀπτήρια δοίη,
Βρόντεω σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
Στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης,
Ὤλοψας δὲ βίηφι· τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν
Μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρσην
Φωτὸς ἐνιδρυνθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.
Τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξατο τῆμος,
Κύκλωπες, ἢ μοί τι Κυδώνιον εἰ δ' ἄγε τόξον,
Ἠδ' ἰοὺς, κοίλην τε κατακληῖδα βελέμνων
Τεύξατε. καὶ γὰρ ἐγὼ Λητωϊὰς, ὥσπερ Ἀπόλλων.
Αἰ δέ κ' ἐγὼ τόξοις μόνιον δάκος ἤ τι πέλωρον
Θηρίον ἀγρεύσω, τὸ δέ κεν Κύκλωπες ἔδοιεν.

ματ' ἀλώπηξ] Πάθος περὶ τὴν κεφαλὴν γινόμενον· ἀπὸ μεταφορᾶς τοῦ ζώου. τὸ γὰρ ζῷον τοῦτο λέγεται ὅτι ἔνθα ἂν οὐρήσῃ, ἄγονος ὁ τόπος τῷ ἔτει ἐκείνῳ γίγνεται. Κυδώνιον] Ἔθνος Κρήτης. ἀφ' οὗ Κρητικόν. Κατακληῖδα] τὴν φαρέτραν. Μόνιον δάκος] Κατὰ μόνας νεμόμενον.

Sed cùm puellarum aliqua immorigera adversùs matrem fecerit,
Mater quidem Cyclopes suam contra filiam advocat,
Argen, aut Steropen: è domo verò interiori
Provenit Mercurius, carbone oblitus atro.
Statim *is* puellam territat: at ipsa genitricis
Subit in gremium, ponens super oculos utramque manum.
Tu verò puella *Diana* etiam longè antè, trima adhuc existens,
Ubi venit Latona *in Liparam,* te in ulnis gestans,
Vulcano eam arcessente, ut munera tui videndi gratia daret:
Bronte te in robusta collocante genua,
Pectore è magno *Bronta* hirsutas excerpsisti setas:
Evulsistique violenter. Itaque depilis etiamnum adhuc
Intermedia pectoris manet pars, ut quando temporibus
Hominis insidens capillos depasta est alopecia:
Proinde valdè animosa ipsos sic tum affata es:
Cyclopes, mihi aliquem Cydonium agedum arcum,
Aut sagittas, cavúmque claustrum sagittarum, *i. pharetram,*
Fabricate. etenim ego *sum* Latonæ, sicut Apollo.
Quòd si ego sagittis agrestem porcum, aut aliquam prægrandem
Feram venatu cepero, eam sanè Cyclopes comedent.

Αἰθῇ] Τῇ κεκαυμένῃ. Τῇ μελαίνῃ. Μορμύσσεται] ἐκφοβεῖ. Ὀπλήεια δοίη] Τὰ ὑπὲρ τοῦ ἰδεῖν δῶρα. Ὤλοψας] Ἀπέτιλας. Ἐλέπισας. Κόμην ἐπενεί-

Αλλ' ὅτε κουράων τὶς ἀπειθέα μητέρι τεύχοι,
Μήτηρ μὲν Κύκλωπας ἑῇ ἐπὶ παιδὶ καλιστρεῖ,
Αργην, ἢ Στερόπην· ὁ δὲ δώματος ἐκ μυχάτοιο
Ερχεται Ερμείης σποδιῇ κεχρημένος αἰθῇ.
Αὐτίκα τὴν κούρην μορμύσσεται· ἡ δὲ τεκούσης
Δύνει ἔσω κόλπους, θεμένη ἐπὶ φάεσι χεῖρας.
Κούρα, σὺ δὲ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα,
Εὖτ' ἔμολεν Λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα,
Ηφαίστου καλέοντος ὅπως ὀπλήεια δοίη,
Βρόντεω σὲ στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
Στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης,
Ωλοψας δὲ βίηφι· τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν
Μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρσην
Φωτὸς ἐνιδρυνθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.
Τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξατο τῆμος,
Κύκλωπες, ἢ μοί τι Κυδώνιον εἰ δ' ἄγε τόξον,
Ηδ' ἰοὺς, κοίλην τε κατακληῖδα βελέμνων
Τεύξατε. καὶ γὰρ ἐγὼ Λητωϊάς, ὥσπερ Απόλλων.
Αἰ δέ κ' ἐγὼ τόξοις μόνιον δάκος ἤ τι πέλωρον
Θηρίον ἀγρεύσω, τὸ δέ κεν Κύκλωπες ἔδοιεν.

ματ' ἀλώπηξ] Πάθος περὶ τὴν κεφαλὴν γινόμενον· ἀπὸ μεταφορᾶς τοῦ ζώου. τὸ γὰρ ζῶον τοῦτο λέγεται ὅτι ἔνθα ἂν οὐρήσῃ, ἄγονος ὁ τόπος τῷ ἔτει ἐκείνῳ γίγνεται. Κυδώνιον] Εθνος Κρήτης. ἀφ' οὗ Κρητικόν. Κατακληῖδα] τὴν φαρέτραν. Μόνιον δάκος] Κατὰ μόνας νεμόμενον.

Ἔννεπες· οἱ δ' ἐτέλεσσαν. ἄφαρ δ' ὡπλίσσαο, δαῖμον.
Αἶψα δ' ἐπὶ σκύλακας πάλιν ἤιες· ἵκεο δ' αὖλιν
Ἀρκαδικὴν ἐπὶ Πανός. ὁ δὲ κρέα λυγκὸς ἔταμνε
Μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
Τὶν δ' ὁ γενειήτης δύο μὲν κύνας ἥμισυ πηγούς,
Τρεῖς δὲ παρουατίους, ἕνα δ' αἰόλον· οἵ ῥα λέοντας
Αὐτοὺς αὖ ἐρύοντες, ὅτε δράξαιντο δεράων,
Εἷλκον ἔτι ζώοντας ἐπ' αὐλίον. ἑπτὰ δ' ἔδωκε
Θάσσονας αὐράων κυνοσουρίδας, αἵ ῥα διῶξαι
Ὤκισται νεβρούς τε καὶ οὐ μύοντα λαγωόν,
Καὶ κοίτην ἐλάφοιο, καὶ ὕστριχος ἔνθα καλιαὶ
Σημῆναι, καὶ ζορκὸς ἐπ' ἴχνιον ἡγήσασθαι.
Ἔνθεν ἀπερχομένη. μετὰ καὶ κύνες ἐσσεύοντο.
Εὗρες ἐπὶ προμολῆς ὄρεος τοῦ Παῤῥασίοιο
Σκαιρούσας ἐλάφους, μέγα τι χρέος. αἱ μὲν ἐπ' ὄχθης
Αἰὲν ἐβουκολέοντο μελαμψήφιδος Ἀναύρου,
Μάσσονες ἢ ταῦροι· κεράων δ' ἀπελάμπετο χρυσός.
Ἐξαπίνης δ' ἔταφές τε καὶ ὃν ποτὶ θυμὸν ἔειπες,
Τοῦτό κεν Ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη.

Ὁ δὲ κρέα λυγκὸς] Εἶδος θηρίου, οὗ τὸ οὖρον πήγνυται· ὃ καλοῦσι λυγκούριον. Μαιναλίης] Μαίναλον, ὄρος Ἀρκαδίας. Πηγούς] Λευκούς. καὶ Ὅμηρος, πηγεσιμάλλῳ. Κυνοσουρίδας] Τὰς ὑπὸ κυνῶν καὶ ἀλωπέκων τικτομένας κύνας. Ἢ τὰς Λακωνικάς. Κυνόσουρις γὰρ, τόπος Λακωνικῆς. Καὶ οὐ μύοντα λαγωόν] Ὁ γὰρ λαγωὸς καὶ ἐν τῷ κοιμᾶσθαι οὐ μύει. Καὶ ὕστριχος] Ὕστριξ, θηρίον τι ταχύτατον. Προμολῆς] Ταῖς διεξόδοις τοῦ

Dicebas. at illi perfecerunt, statímque armata es
Dea. [stabulum
Continuò autem ad catulos reversa, pervenisti ad
Arcadicum Panos. Is *tum* carnes Lyncis secabat
Mænaliæ: ut ejus fœtæ canes escam comederent.
Tibi autem barbatus *Pan* duos quidem canes, media parte albos,
Tres verò auritos, & unum diversicolorem: (qui vel leones [cute,
Ipsos retrorsum trahentes, ubi apprehendissent *eos*
Rapiebant adhuc vivos in stabulum) septem præterea dedit
Velociores ventis Cynosurides, quæ & in investigando [tem leporem,
Promptissimæ *erant* hinnulósque, & non conniven-
Et cubile cervi, & hystricis ubi *essent* nidi
Ostendendo, & damæ ad vestigium perducendo.
Inde proficiscens (una verò & canes ibant)
Reperiebas in cacumine montis Parrhasii
Salientes cervos, rem magnam. illæ quidem in ripis
Semper pascebant nigris lapillis oppleti Anauri,
Majores quàm tauri. in cornibus verò refulgebat aurum.
Hîc repentè *tu* immisisti canes, & tuum apud animum dixisti,
Hæc sanè prima præda Diana digna esset.

Παῤῥασίου ὄρους Ἀρκαδίας. Ἀναύρου] Ποταμὸς Θεσσαλίας ὁ Ἄναυρος. Κεράων δ' ἀπελάμπετο χρυσός] Σημείωσαι ὅτι τὰς θηλείας ἐλάφους, κερατοφόρους εἶπε.

Quinque erant omnes, quarum quatuor cepisti ve-
lociter incitata, [vehant:
Absque canum cursu: ut tibi celerem currum pro-
Unam verò, (quæ Celadontem ad fluvium effugerat
Junonis consilio, certamen Herculi
Ultimum ut esset) collis Cerynæus recepit.
Diana Parthenie, Tityi domitrix, aurea quidem tibi
Arma, & cingulum, & aureum junxisti currum:
Injecistíque aureos dea cervis frenos.
Sed quónam te primùm cornutus currus cœpit at-
tollere?
Æmum ad Threicium, unde Boreæ procella
Exoritur, lana non tectis, *i. nudis hominibus*, gravem
rigorem inducens. [qualem?
Ubi autem secuisti pinum, & flammam injecisti
Myso in Olympo *secuisti pinum*: lucis verò injecisti
fumum
Inextinctæ, quam patris *Jovis* destillant fulmina.
Sed quoties, ô dea, argenteo contendisti spiculo?
Primum quidem in ulmum, alterum verò misisti in
quercum, [quercum,
Tertium rursus in feram: quartum non ampliùs in
Sed illud in sceleratorum *hominum* jecisti civitatem,
quíque in suos,
Quíque in peregrinos nefaria multa perpetraverant.
Ah miseri, in quos tu gravem impinges iram!
Pecudes ipsorum pestis devorat, opera verò grando.

Κελάδοντος] Ποταμὸς Αρκαδίας. Κεραύνιος] Λόφος Αρκαδίας. Τυποκτόνε] Τυπὸς βιασάμενος Λητὼ, ἀνῃρέθη ὑπὸ Απόλλωνος καὶ Αρτέμιδος.

Πέντ' ἔσαν αἱ πᾶσαι· πίσυρας δ' ἕλες ὦκα θέουσα,
Νόσφι κυνοδρομίης, ἵνα τοι θοὸν ἅρμα φέρωσι.
Τὴν δὲ μίαν, Κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν,
Ηρης αἰνεσίῃσιν, ἀέθλιον Ηρακλῆϊ
Υστατον ὄφρα γένοιτο, πάγος Κερωύνιος ἔδεκτο.
Αρτεμι Παρθενίη, Τιτυοκτόνε, χρύσεα μέν τοι
Εντεα καὶ ζώνη, χρύσεον δ' ἐζεύξαο δίφρον,
Εν δ' ἔβαλευ χρύσεια, θεά, κεμάδεσσι χαλινά.
Ποῦ δέ σε τὸ πρῶτον κερόεις ὄχος ἤρξατ' ἀείρειν;
Αἵμῳ ἔπι Θρηΐκι, τόθεν βορέαο καταῖξ
Ερχεται ἀχλαίνοισι δυσαέα κρυμὸν ἄγουσα.
Ποῦ δ' ἔταμες πεύκην; ἀπὸ δὲ φλογὸς ἥψαο ποίης;
Μυσῷ ἐν Οὐλύμπῳ· φάεος δ' ἐνέηκας ἀϋτμὴν
Ασβέστου, τό ῥα πατρὸς ἀποστάζουσι κεραυνοί.
Ποσσάκι δ' ἀργυρέοιο θεὴ πειρήσαο τόξου;
Πρῶτον ἐπὶ πτελέην, τὸ δὲ δεύτερον ἧκας ἐπὶ δρῦν,
Τὸ τρίτον αὖτ' ἐπὶ θῆρα· τὸ τέτρατον οὐκέτ' ἐπὶ δρῦν,
Αλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν, οἵτε περὶ σφέας
Οἵτε περὶ ξείνους ἀλιτήμονα πόλλ' ἐτέλεσκον.
Σχέτλιοι, οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν.
Κτήνεά φιν λοιμὸς καταβόσκεται, ἔργα δὲ πάχνη·

Αἵμῳ ἔπι] Ορος Θράκης. Καταῖξ δὲ, ἡ λεγομένη καταιγίς. Μυσῷ ἐν Οὐλύμπῳ] Εστι γὰρ καὶ Μακεδονίας. Εμμάξεαι] ἐμβάλῃς. Κτήνεά φιν] Φιν χωρὶς τοῦ σ, διὰ τὸ μέτρον.

Κείρονται δ' γέροντες ἐφ' υἱάσιν· αἱ δὲ γυναῖκες,
Η βληταὶ θνήσκουσι λεχωΐδες, ἠὲ φυγοῦσαι
Τίκτουσιν· τῶν δ' οὐδὲν ἐπὶ σφυρὸν ὀρθὸν ἀνέστη.
Οἷς δέ κεν εὐμειδής τε καὶ ἵλαος αὐγάσσηαι,
Κείνοις εὖ μὲν ἄρουρα φέρει στάχυν, εὖ δὲ γενέθλη
Τετραπόδων, εὖ δ' ὄλβος ἀέξεται, οὐδ' ἐπὶ σῆμα
Ερχονται, πλὴν εὖτε πολυχρόνιόν τι φέρωσιν.
Οὐδὲ διχοστασίη τρώγει γένος, ἥτε καὶ εὖ περ
Οἴκους ἐστηῶτας ἐσίνατο. ταὶ δὲ θυωρὸν
Εἰνάτερες γαλόῳ τε μίαν πέρι δίφρα τίθενται.
Πότνια, τῶν εἴη μὲν ἐμοὶ φίλος ὅς τις ἀληθὴς,
Εἴην δ' αὐτὸς, ἄνασσα· μέλοι δέ μοι αἰὲν ἀοιδὴ,
Τῇ ἔνι μὲν Λητοῦς γάμος ἔσσεται, ἐν δὲ σὺ πολλὴ,
Εν δὲ καὶ Απόλλων. ἐν δ' οἱ σέο πάντες ἄεθλοι·
Εν δὲ κύνες, καὶ τόξα, καὶ ἄντυγες, αἵ τέ σε ῥεῖα
Θηητὴν φορέουσιν, ὅτ' ἐς Διὸς οἶκον ἐλαύνεις.
Ενθά τοι ἀντιόωντες ἐνὶ προμολῇσι δέχονται,
Οπλα μὲν Ερμείης ἀκακήσιος, αὐτὰρ Απόλλων,
Θηρίον ὅ,ττι φέρησθα. πάροιθε δὲ, πρίν περ ἱκέσθαι
Καρτερὸν Αλκείδην· νῦν δ' οὐκ ἔτι τοῦτον ἄεθλον

Η βληταὶ] Βεβλημέναι ὑπὸ Αρτέμιδος. Τρώγει] Τρύχει. Φθείρει. Ταὶ δὲ θυωρὸν] Θυωρὸς, ἡ φιλικὴ τράπεζα. κυρίως δὲ, ἡ θεοῖς ἀνατεθειμένη. τὸ δὲ ἑξῆς, περὶ μίαν θυωρὸν τὰ δίφρα τίθενται αἱ εἰνάτερες καὶ αἱ γαλόῳ. Εἴη μὲν ἐμοὶ φίλος] Εἴη μοι φίλος ὅστις ὑπὸ σοῦ προνοεῖται· εἴην δὲ καὶ αὐτός.

Trucidantur

Trucidantur item ſenes ſuper filiis: & mulieres
Aut cæſæ moriuntur puerperæ, aut profugæ
Pariunt: earúmque nihil ſupra malleolum pedis re-
ctum aſſurgit.
Quos contrà hilari vultu & benigna tu reſpexeris,
Illis bene & tellus fert ſpicam, & bene genitura
Quadrupedum, benéque opulentia augetur: neque
in ſepulcrum
Veniunt, priuſquam admodum annoſum quoddam
i. ſenium, ferant. [bene
Neque diſcordia devorat *horum* familiam, quæ etiam
Conſtitutas domos perturbavit: ſed menſam
Fratriæ & glores circa unam ſellas collocant.
Dîva, ſit mihi aliorum quidem amicus, quicunque
eſt verax,
Sim verò & ipſe, regina: curæ etiam ſit mihi ſemper
carmen, [*eris:*
In quo & Latonæ nuptiæ erunt: in quo & tu crebra
In quo etiam Apollo, in quo tui omnes labores:
In quo canes & ſagittæ, & canthi rotarum, qui te
facilè [rum agitas.
Spectabilem portant, quando in Jovis domum cur-
Ibi tum occurrentes tibi in veſtibulo, capiunt,
Arma quidem Mercurius Acaceſius, ſed Apollo
Feram quamcunque portas; ídque antequam adve-
niſſet *in cælum*
Fortis Alcides. Nunc autem non ampliùs iſtum la-
borem

Τόξα, καὶ ἄντυγες] Ἀπὸ τῆς ἄντυγος τὸ ὅλον ἅρμα σημαίνει. Ακακήσιος] ἀπὸ ὄρους Αρκαδίας. Η, ὁ μηδενὸς κακοῦ παραίτιος ὤν.

F

Phœbus sustinet. Talis enim semper Tirynthius indefessus
Stat ante fores *cæli*, expectans an quippiam afferens
Redeas pingue edulium. dii autem omnes super eo *Hercule*
Indesinenter rident: inprimis verò socrus ipsa *Juno*,
Taurum siquando è curru prægrandem, aut quando aprum
Sylvestrem proferat *Hercules* posteriori pede palpitantem:
Astuto admodum sermone te, dea, sic alloquitur:
Dejice noxias feras, ut mortales te auxiliatricem,
Sicuti me, invocent. sine capreas & lepores
In montibus errare. quid enim capreæ & lepores
Perpetrant? sues opera *rusticorum*, sues plantas vastant:
Et boves hominibus ingens malum *sunt*, dejice & hos.
Sic ait: & celer magnam circa feram laborabat.
Neque enim ipse *Hercules* quamlibet Phrygia sub quercu membra in deum mutatus
Sedavit inediam. adhuc ei inest fames illa,
Qua olim aranti occurrit Theiodamanti.
Tibi verò Amnisides *nymphæ* à jugo solutas
Demulcent cervas, & ad eas multum pabuli
Junonis è prato aggerentes comportant
Velox natu trifolium: quod & Jovis equi comedunt.
Prætereà & aureos lacus implent

Τιρύνθιος ἄκμων] Ὁ μὴ καμὼν ἐπὶ τοῖς ἄθλοις Ἡρακλῆς. Πενθερὴ] ἡ Ἥρα. Πινύσκει] Σωφρονίζει. Κολακεύει ὁ Ἡρακλῆς. Ἔα πρόκας] Διὰ τὴν ἀδηφαγίαν τὰ μείζω τῶν ζώων κελεύει αὐτὴν ἀγρεύειν. Φρυγίῃ]

Φοῖβος ἔχει. τοῖος γὰρ ἀεὶ Τιρύνθιος ἄκμων
Ἕστηκε πρὸ πυλέων, ποτιδέγμενος εἴ τι φέρουσα
Νεῖαι πῖον ἔδεσμα. θεοὶ δ' ἐπὶ πάντες ἐκείνῳ
Ἄλληκτον γελόωσι, μάλιστα δὲ πενθερὴ αὐτή,
Ταῦρον ὅτ' ἐκ δίφροιο μάλα μέγαν, ἢ ὅτε χλούνην
Κάπρον ὀπισθιδίοιο φέροι ποδὸς ἀσπαίροντα.
Κερδαλέῳ μύθῳ σε, θεή, μάλα τῷδε πινύσκει,
Βάλλε κακοὺς ἐπὶ θῆρας, ἵνα θνητοί σε βοηθὸν,
Ὡς ἐμὲ, κικλήσκωσιν. ἔα πρόκας ἠδὲ λαγωοὺς
Οὔρεα βόσκεσθαι· τί δέ κεν πρόκες ἠδὲ λαγωοὶ
Ῥέξειαν; σύες ἔργα, σύες φυτὰ λυμαίνονται.
Καὶ βόες ἀνθρώποισι κακὸν μέγα· βάλλ' ἐπὶ καὶ τούς.
Ὣς ἔνεπεν, ταχινὸς δὲ μέγαν περὶ θῆρα πονεῖτο.
Οὐ γὰρ ὅγε Φρυγίῃ περ ὑπὸ δρυῒ γυῖα θεωθεὶς
Παύσατ' ἀδηφαγίης. ἔτι οἱ πάρα νηδὺς ἐκείνη
Τῇ ποτ' ἀροτριόωντι συνήντετο Θειοδάμαντι.
Σοὶ δ' Ἀμνισιάδες μὲν ὑπὸ ζεύγληφι λυθείσας
Ψήχουσιν κεμάδας, παρὰ δέ σφισι πουλὺ νέμεσθαι
Ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν
Ὠκύθοον τριπέτηλον· ὃ καὶ Διὸς ἵπποι ἔδουσι.
Ἐν καὶ χρυσείας ὑποληνίδας ἐπλήσαντο

Φρυγία, ὄρος Τραχῖνος, ἔνθα ἐκάη ὁ Ἡρακλῆς. Θειοδάμαντι] Βασιλεὺς Δρυόπων ὁ Θειοδάμας. Ὠκύθοον τριπέτηλον] Τὸ ταχέως ἀνατέλλον τρίφυλλον. Ὑποληνίδας] Πυέλους. Ποτίστρας.

Ὕδατος, ὄφρ' ἐλάφοισι ποτὸν θυμάρμενον εἴη.
Αὐτὴ δ' ἐς πατρὸς δόμον ἔρχεαι· οἱ δέ σ' ἐφ' ἕδρην
Πάντες ὁμῶς καλέουσι· σὺ δ' Ἀπόλλωνι παρίζεις.
Ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
Ἀγχόθι πηγάων Αἰγυπτίου Ἰνωποῖο,
Ἢ Πιτάνης, (καὶ γὰρ Πιτάνη σέθεν) ἢ ἐνὶ Λίμναις,
Ἢ ἵνα, δαῖμον, Ἁλὰς Ἀραφηνίδας οἰκήσουσα
Ἦλθες ἀπὸ Σκυθίης, ἀπὸ δ' εἴπαο τέθμια Ταύρων,
Μὴ νειὸν τημοῦτος ἐμαὶ βόες εἵνεκα μισθοῦ
Τετράγυον τέμνοιεν ὑπ' ἀλλοτρίῳ ἀροτῆρι.
Ἦ γάρ κεν γυιάς τε καὶ αὐχένα κεκμηκυῖαι
Κόπρον ἔπι προηλύοιντο, καὶ εἰ Στυμφαιίδες εἶεν,
Εἰναετιζόμεναι, κεραελκέες, αἳ μέγ' ἄρισται
Τέμνειν ὦλκα βαθεῖαν. ἐπεὶ θεὸς οὔποτ' ἐκεῖνον
Ἦλθε παρ' Ἥλιος καλὸν χορόν· ἀλλὰ θεῆται
Δίφρον ἐπιστήσας, τὰ δὲ φάεα μηκύνονται.
Τίς δέ νύ τοι νήσων, ποῖον δ' ὄρος εὔαδε πλεῖστον;
Τίς δὲ λιμήν; ποίη δὲ πόλις; τίνα δ' ἔξοχα νυμφέων

Ἡνίκα δ' αἱ νύμφαι σε] Τὸ ἑξῆς, ἡνίκα αἱ νύμφαι, μὴ νειὸν τημοῦτος. Ἰνωποῖο] Ἰνωπὸς, ποταμὸς Δήλου. Αἰγύπτιος δὲ, διὰ τὸν Νεῖλον, ὅτι καὶ αὐτὸς ἐκεῖ πλημμυρεῖ. ἢ ὅτι λέγεται τοῦ ὕδατος τοῦ Νείλου μετέχειν λαθραίως. Πιτάνη δὲ, πόλις Μακεδονίας. Ἢ ἐνὶ Λίμναις] Λίμναι, δῆμος Ἀττικῆς, ἔνθα τιμᾶται ἡ Ἄρτεμις. Ἁλὰς Ἀραφηνίδας] Δύο Ἁλαὶ δῆμοι τῆς Ἀττικῆς, Ἁλαὶ Ἀραφηνίδες, καὶ Ἁλαὶ Ζωνίδες. Τέθμια] Τὰ νόμιμα τῶν Ταυροσκυθῶν, τὸ θύειν τοὺς ξένους. Τημοῦτος] τηνικαῦτα. Ὑπ' ἀλλο-

Aqua, ut cervis potus gratior reddatur.
Ipſamet verò in patris domum venis, ibíque te in ſedem *ſuam*
Omnes ſimul invitant: tu autem Apollini aſſides.
At quando nymphæ te in choro circumdabunt
Prope fontem Ægyptii Inopi *in Delo*,
Aut *prope* Pitanam (nam & Pitana tua) aut in Limnis,
Aut ubi tu, dea, Alas Araphenidas inhabitatura
Veneris è Scythia, & reſpueris ſacra Taurica:
Ne tum novale meæ boves, gratia mercedis,
Quatuor jugerum findant ſub alieno aratro.
Etenim & membra & cervicem defatigatæ
In bubile venerint: etiamſi Stymphalides eſſent,
Novem annos natæ, robuſtis cornibus: quæque optimæ
Ad ducendum ſulcum profundiſſimum. quoniam deus nunquam illum
Tranſivit Sol pulchrum chorum: ſed aſpectat,
Currum inhibens: & dies ipſi *tum* protrahuntur.
Quæ verò tibi inſularum, quis mons placuit potiſſimum?
Quis portus? quæ civitas? quam præcipuè nympharum

τρίῳ] τὸ ἑξῆς, ἡνίκα αἱ νύμφαι τὴν Ἄρτεμιν τῷ χορῷ κυκλώσονται, μὴ γένοιτο τὰς ἐμὰς βοῦς ἐπ' ἀλλοτρίῳ μισθῷ ἐργάζεσθαι. καὶ γὰρ ὁ ἥλιος ἐπέχει τὸν ἑαυτοῦ δρόμον, καὶ αὐτὸς ἐφορῶν τὸν χορὸν τῶν νυμφῶν· ὥστε γίγνεσθαι πολὺ τὸ τῆς ἡμέρας διάστημα. Κόπρον] τὴν ἔπαυλιν. Στυμφαλίδες] Ἠπειρωτικαί. Στύμφαι γὰρ, χωρίον τῆς Ἠπείρου. λέγεται δὲ καλὰς βοῦς ἔχειν τὴν Ἤπειρον. Κεραελκέες] Διὰ τὸ τοῖν κέρασιν ἕλκειν τὸ ἄροτρον.

Dilexisti? & quales heroïnas habuisti socias?
Dic, dea, tu quidem nobis: ego verò aliis canam.
Insularum quidem Doliche, urbium verò tibi placuit Perga:
Taygetus autem ex montibus, portus denique Euripi.
Præcipuè autem inter *omnes* alias Gortynida amasti nympham,
Cervarum venatricem, Britomartin, circumspectam: cujus olim Minos
Perculsus amore, pervagatus est montes Cretæ.
Illa verò aliâs quidem rigidis sub quercubus latitabat nympha,
Aliâs autem in locis uliginosis. At ipse novem menses percurrebat
Loca prærupta, & pendentes scopulos. nec intermisit insectationem,
Donec apprehensa fermè *nympha* insiliit mare
Ab alto vertice: insiliit autem in piscatorum
Retia, quæ ipsam conservarunt. hinc deinceps Cydones
Nympham ipsam, Dictynnam: montem verò unde desiliit nympha,
Dictæum appellitant: excitatísque *ibi* aris
Sacra etiam faciunt. at sertum die illo
Aut pinus aut lentiscus *erit:* myrtum verò manus non tangunt.
Tunc etenim peplis inhæsit myrteus ramus
Puellæ, quum fugit: hinc admodum irata fuit myrto.

Φίλαο, καὶ ποίας ἡρωίδας ἔσχες ἑταίρας?
Εἰπὲ, θεά. σὺ μὲν ἄμμιν, ἐγὼ δ' ἑτέροισιν ἀείσω.
Νήσων μὲν Δολίχη, πολίων δέ τοι εὔαδε Πέργη,
Τηΰγετον δ' ὀρέων, λιμένες γε μὲν Εὐρίποιο.
Ἔξοχα δ' ἀλλάων Γορτυνίδα φίλαο νύμφην,
Ἐλλοφόνον, Βριτόμαρτιν, εὔσκοπον· ἧς ποτὲ Μίνως
Πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν οὔρεα Κρήτης.
Ἡ δ' ὁτὲ μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
Ἄλλοτε δ' εἱαμενῇσιν. ὁ δ' ἐννέα μῆνας ἐφοίτα
Παίπαλά τε κρημνούς τε· καὶ οὐκ ἀνέπαυσε διωκτὺν,
Μέσφ' ὅτε μαρπτομένη καὶ δὴ σχεδὸν ἥλατο πόντον,
Πρηόνος ἐξ ὑπάτοιο· καὶ ἔνθορεν εἰς ἁλιήων
Δίκτυα, τά σφ' ἐσάωσεν. ὅθεν μετέπειτα Κύδωνες
Νύμφην μὲν, Δίκτυναν, ὄρος δ' ὅθεν ἥλατο νύμφη,
Δικταῖον καλέουσιν. ἀνεστήσαντο δὲ βωμοὺς,
Ἱερά τε ῥέζουσι. τὸ δὲ στέφος ἤματι κείνῳ,
Ἡ πίτυς, ἢ σχῖνος· μύρτοιο δὲ χεῖρες ἄθικτοι.
Δὴ τότε γὰρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
Τῆς κούρης, ὅτ' ἔφευγεν· ὅθεν μέγα χώσατο μύρτῳ.

Πέργη] Μητρόπολις Παμφυλίας. Τηΰγετον] Ὄρος Λακεδαίμονος. Εὐρίποιο] Εὔριπος ὁ μεταξὺ Εὐβοίας καὶ Βοιωτίας ῥοῦς. καλεῖται δ' οὕτως ἡ Εὔβοια, διὰ τὸ ἐπιμήκη αὐτὴν κεῖσθαι. λέγεται δὲ καὶ Μάκρις. Γορτυνίδα] Κρητικὴν· ἀπὸ τόπου. Ἐλλοφόνον] νεβροκτόνον. Βριτόμαρτιν] Βριτόμαρτις, ὄνομα κύριον τῆς νύμφης. ἀφ' ἧς καὶ ἡ Ἄρτεμις ἐν Κρήτῃ Βριτόμαρτις τιμᾶται, ὡς Διογενιανός. Παίπαλά τε] Τόπους τραχεῖς.

Οὖπι ἄνασσ' εὐῶπι, φαεσφόρε, καὶ δέ σε κείνης
Κρηταέες καλέουσιν ἐπωνυμίην ἀπὸ νύμφης.
Καὶ μὴν Κυρήνην ἑταρίσσαο, τῇ ποτ' ἔδωκας
Αὐτὴ θηρητῆρε δύω κύνε, τοῖς ἔνι κούρη
Ὑψηῒς παρὰ τύμβον Ἰώλκιον ἔμμορ' ἀέθλου·
Καὶ Κεφάλου ξανθὴν ἄλοχον Δηϊονίδαο
Πότνια σὴν ὁμόθηρον ἐθήκαο· καὶ δέ σε φασὶ
Καλὴν Ἀντίκλειαν ἴσον φαέεσσι φιλῆσαι·
Αἳ πρῶται θοὰ τόξα καὶ ἀμφ' ὤμοισι φαρέτρας
Ἰοδόκους ἐφόρησαν· ἀσύλωτοι δέ φιν ὦμοι
Δεξιτεροὶ, καὶ γυμνὸς ἀεὶ παρεφαίνετο μαζός.
Ηνησας δ' ἔτι πάγχυ ποδορρώην Ἀταλάντην
Κούρην Ἰασίοιο συοκτόνον Ἀρκασίδαο,
Καί ἑ κυνηλασίην τε καὶ εὐστοχίην ἐδίδαξας.
Οὔ μιν ἐπίκλητοι Καλυδωνίου ἀγρευτῆρες
Μέμφονται κάπροιο. τὰ γὰρ σημήϊα νίκης
Ἀρκαδίην εἰσῆλθεν, ἔχει δ' ἔτι θηρὸς ὀδόντας.
Οὐδὲ μὲν Ὑλαῖόν τε καὶ ἄφρονα Ῥοῖκον ἔολπα,
Οὐδέ περ ἐχθαίροντας, ἐν Ἄϊδι μωμήσεσθαι
Τοξότιν. οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται,

Οὖπι ἄνασσ' εὐῶπι] Οὖπις, ἐπίθετον Ἀρτέμιδος· ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν Οὖπιν. ἢ διὰ τὰς Ὑπερβορέους κόρας, Οὖπιν, Ἑκαέργην, Λοξώ· ἃς ἐτίμησεν Ἀπόλλων καὶ Ἄρτεμις. καὶ ἀπὸ μιᾶς μὲν Οὖπις ἡ Ἄρτεμις. Λοξίας δὲ καὶ Ἑκάεργος ἐκ τῶν λοιπῶν, ὁ Ἀπόλλων. Ὑψηῒς] ἡ Κυρήνη. Ἰώλκιον] Τὸν τύμβον τοῦ Πελίου. Ἰώλκιος γὰρ ὁ Πελίας.

Upi

Upi regina aſpectu pulchra, Lucina: equidem te illa
Cretenſes vocant cognomento *Britomartin* à nympha.
Sed & Cyrenen *tibi* aſſociaſti: cui olim dediſti
Ipſa venaticos duos canes, quibus virgo
Hypſeis apud tumulum Iolcium potita eſt victoria.
Et Cephali flavam uxorem Deïonidæ *Procrin*,
Diva, tuarum venationum ſociam conſtituiſti: præterea te dicunt
Pulchram Anticleam tanquam oculos tuos amaſſe.
Atque hæ primæ celeres ſagittas & circa humeros pharetras
Sagittiferas geſtarunt. inviolabiléſque illis humeri
Dextri, & nuda ſemper conſpiciebatur mamma.
Approbaſti etiam valde velocem pedibus Atalantam,
Filiam Iaſii Arcaſidæ, porci *Calydonii* interfectricem:
Eámque, canum incitationem & jaculandi dexteritatem docuiſti.
Haud ipſam celebres Calydonii venatores
Reprehendunt apri. nam ſigna victoriæ
In Arcadiam pervenerunt: habétque etiamnum feræ dentes.
Neque ſanè Hylæum & ſtultum Rhœcum crediderim,
Quantumvis infenſos *ei*, in inferno vituperaturos eſſe
Jaculatricem *Atalantam*. neque enim cum ipſis viſcera commentirentur,

Καὶ Κεφάλου ξανθήν] Ἠγουν, τὴν Πρόκριν καὶ καλὴν Ἀντίκλειαν. ἢ, τὴν μητέρα Ὀδυσσέως, ἢ ἄλλην τινά. Ποδορρώην] Τὴν τοῖς ποσὶν ὁρούουσαν καὶ ὁρμῶσαν. Οὐδὲ μὲν Ὑλαῖόν τε] Ὑλαῖος καὶ Ῥοῖκος κένταυροι περὶ Ἀρκαδίαν, οὓς ἀνεῖλεν Ἀταλάντη βιασαμένους αὐτήν.

Quorum Mænalius inundavit cæde vertex.
Diva multorum tectorum, multarúmque urbium, ſalve Chitone:
Mileto familiaris dea. Te enim fecit Neleus
Præſidem *urbis, vel, ducem viæ*, quando navibus provectus eſt Athenis,
Cheſias, Imbraſia, primi ſubſellii dea. Tibi etiam Agamemnon
Clavum navis ſuæ dedicavit in templo *Aulidis*,
Munus contra navigandi incommoditatem, quando ipſi detinebas ventos,
Teucrorum cùm naves Achivæ oppida moleſtatum
Navigarent; propter Helenam Rhamnuſiam animis concitatæ.
Enimverò tibi & Prœtus duo condidit templa:
Alterum quidem Coreſiæ *Dianæ*, quòd ei collegiſſes coras, *i.filias*, [ſis,
Montibus inerrantes inhoſpitis: alterum verò in Luſ-
Hemereſiæ: quòd animum efferatum avertiſſes à filiabus.
Tibi etiam Amazones, belli affectatrices,
Olim in littore Epheſi ſtatuam poſuerunt,
Fagino ſub trunco. peregítque tibi ſacrum Hippo:
Ipſæ verò *Amazones*, Upi regina, circum ſolenni ſaltatu tripudiarunt,
Primò quidem in ſcutis armatum *tripudium*, deinde verò in orbem

Τάων Μαιναλίη νᾶεν φόνῳ] Τῶν λαγόνων τῶν κενταύρων. Νᾶεν] Εσταξεν. ἔβρεξεν. ὅθεν καὶ νᾶμα, καὶ νασμός. Χησιαὶ] Χήσιον, ἀκρωτήριον τῆς Σά-

Τάων Μαιναλίη νᾶεν φόνῳ ἀκρώρεια.
Πότνια, πουλυμέλαθρε, πολύπτολι χαῖρε Χιτώνη,
Μιλήτῳ ἐπίδημε. σὲ γὰρ ποιήσατο Νηλεὺς
Ηγεμόνην, ὅτε νηυσὶν ἀνήγετο Κεκροπίηθεν,
Χησιὰς, Ιμβρασίη, πρωτόθρονε· σοὶ δ' Αγαμέμνων
Πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ,
Μείλιον ἀπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας.
Τεύκρων ἡνίκα νῆες Αχαιίδες ἄστεα κήδειν
Επλεον, ἀμφ' Ελένῃ Ραμνουσίδι θυμωθεῖσαι.
Ημέν τοι Προῖτός γε δύω ἐκαθίσατο νηούς·
Αλλον μὲν, Κορίης, ὅτι οἱ συνελέξαο κούρας
Οὔρεα πλαζομένας ἀξείνια· τὸν δ' ἐνὶ Λουσοῖς
Ημέρῃ, οὕνεκα θυμὸν ἀπ' ἄγριον εἵλεο παίδων.
Σοὶ καὶ Αμαζονίδες πολέμου ἐπιθυμήτειραι
Εν ποτε παρραλίῃ Εφέσου βρέτας ἱδρύσαντο,
Φηγῷ ὑπὸ πρέμνῳ. τέλεσεν δέ τοι ἱερὸν Ιππώ.
Αὐταὶ δ' Οὖπι ἄνασσα περὶ πρύλιν ὠρχήσαντο,
Πρῶτα μὲν ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δὲ κύκλῳ

μου. καὶ Ιμβρασος, ποταμὸς τῆς Σάμου. Ραμνουσίδι] Ραμνοῦς, δῆμος Αττικῆς, ἔνθα τῇ Νεμέσει ὁ Ζεὺς συνεκαθεύδησεν. ἥτις ἔτεκεν ᾠόν. ὅπερ εὑροῦσα ἡ Λήδα ἐθέρμανε, καὶ ἐξέβαλε τοὺς Διοσκούρους καὶ τὴν Ελένην. Αξείνια] Ορος Αρκαδίας. Τὸν δ' ἐνὶ Λουσοῖς] Η εὐθεῖα τὰ Λοῦσα, ὡς Ηρωδιανός. Εἵλεο παίδων] Μανεῖσαι γὰρ αἱ τρεῖς αὐτοῦ θυγατέρες, πάλιν διὰ τῆς Αρτέμιδος ἡμερώθησαν. ὁ δὲ κτίζει ἱερὰ δύο· ἓν μὲν, Κορίης· ἓν δὲ, Ημερίης· διότι τὰς κόρας ἡμέρωσεν. Ιππὼ] Μία τῶν Αμαζόνων.


Στησάμεναι χορὸν εὐρύν. ὑπήεισαν δὲ λίγειαι
Λεπταλέον σύριγγες, ἵνα πλήσσωσιν ὁμαρτῇ.
Οὐ γάρ πω νέβρεια δι' ὀστέα τετρήνοντο,
Ἔργον Ἀθηναίης ἐλάφῳ κακόν. ἔδραμε δ' ἠχὼ
Σάρδιας, ἔς τε νομὸν Βερεκύνθιον. αἱ δὲ πόδεσσιν
Οὖλα κατεκροτάλιζον, ἐπεψόφεον δὲ φαρέτραι.
Κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρὺ θέμεθλον
Δωμήθη. τοῦ δ' οὔτι θεώτερον ὄψεται ἠώς,
Οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.
Τῷ ῥα καὶ ἠλαίνων ἀλαπαξέμεν ἠπείλησε
Λύγδαμις ὑβριστής· ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
Ἤγαγε Κιμμερίων, ψαμάθῳ ἴσον, οἵ ῥα παρ' αὐτὸν
Κεκλιμένοι ναίουσι βοὸς πόρον Ἰναχιώνης.
Ἆ δειλὸς βασιλέων, ὅσον ἤλιτεν. οὐ γὰρ ἔμελλεν
Οὔτ' αὐτὸς Σκυθίηνδε παλιμπετές, οὔτε τις ἄλλος
Ὅσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσταν ἅμαξαι,
Νοστήσειν· Ἐφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
Πότνια Μουνυχίη, λιμενοσκόπε χαῖρε Φεραίη.
Μή τις ἀτιμήσῃ τὴν Ἄρτεμιν· οὐδὲ γὰρ Οἰνεῖ
Βωμὸν ἀτιμάσσαντι καλοὶ πόλιν ἦλθον ἀγῶνες.

Ἔργον Ἀθηναίης] Ἀθηνᾶ γὰρ ἔφορος πάσης τέχνης. Σάρδιας] Πόλις Λυδίας. Βερεκύνθιον] Μεταξὺ Λυδίας καὶ Φρυγίας. Ῥέα κεν Πυθῶνα] Ὅμηρος, Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει. Καὶ ἠλαίνων] Μωραίνων. Βοὸς πόρον Ἰναχιώνης] τῆς Ἰοῦς, τῆς εἰς βοῦν μεταμορφωθεί-

Diducentes latum chorum. Succinuerunt autem suaves
Subtile quid fistulæ, ut stiparent *chorum* confertim.
Nondum enim hinnulorum ossa perterebraverat
Opus *vel instrumentum* Minervæ, cervo noxium. Ibat autem sonus [pedibus
Sardes usque, & ad plagam Berecynthiam: ipsæ verò
Fortiter instrepebant, sonitúmque edebant pharetræ.
Hanc porrò deinceps circa statuam lati fundi templum
Ædificatum est, quo nullum divinius aspiciet Oriens,
Neque ullum opulentius: facilè Pythonem superet.
Quare insaniens vastaturum *se hoc* comminatus est
Lygdamis, homo injurius, & insuper exercitum equimulsorum [ipsum
Adduxit Cimmeriorum, arenarum instar, qui apud
Adjacentes habitant bovis Inachiæ transitum. *i. Bosphorum Cimmerium.* [futurum erat
Ah miserum regem, quantum erravit! neque enim
Ut vel ipse in Scythiam redux, vel quisquam alius,
Quorumcunque in prato Caystrio constitêre currus,
Reverterentur. Epheso enim semper tuæ sagittæ, quasi propugnaculum, objectæ sunt.
Diva Munychia, portuum inspectrix, salve Pheræa.
Nemo dedecore afficiat Dianam. neque enim OEneo
Aram *ejus* dehonestanti pulchra domum redierunt certamina.

σης. Βόσποροι δὲ εἰσὶ δύο, ὅ, τε τοῦ Βυζαντίου, καὶ ὁ Κιμμέριος. Μουνυχίη] Μουνύχιον γάρ ἐστι μέρος τοῦ Πειραιῶς, τοῦ λιμένος τῶν Ἀθηνῶν.


Neque cervorum venatione, neque jaculandi peritia *divam* provocet.
Non enim Agamemnon parvo se magnificè extulit pretio. *id est, non parvum pro sua jactantia retulit pretium.*
Nemo item ambiat hanc virginem: neque enim Otus
Neque Orion bonas nuptias appetiverunt.
Sed neque saltatum aliquis fugiat solennem: neque enim Hippo
Absque fletu circa aram renuit tripudiare.
Salve magna regina, & propitia sis huic cantui.



IN DELUM HYMNUS.

SACRAM, ô anime, quo tempore aut quando celebrabis
Delum, Apollinis *terram* nutriculam? equidem omnes
Cyclades, quæ insularum sacratissimæ in mari jacent,
Laudibus refertæ *sunt:* Delus verò vult primas habere
A Musis, quòd Phœbum poëtarum curas gerentem
Et abluit, & fasciis involvit, & pro deo celebravit prima.
Ut Musæ poëtam, qui Pimpleam non canit,
Odere: sic Phœbus *eum* quicunque Deli obliviscitur.
Delo nunc *igitur* carmen impertiar: ut Apollo
Cynthius laudet me, caræ studiosum nutriculæ.

Μηδ' ἐλαφηβολίην, μηδ' εὐστοχίην ἐριδαίνειν·
Οὐδὲ γὰρ Ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
Μηδέ τινα μνᾶσθαι τὴν παρθένον· οὐδὲ γὰρ Ὦτος,
Οὐδὲ μὲν Ὠαρίων ἀγαθὸν γάμον ἐμνήστευσαν.
Μηδὲ χορὸν φεύγειν ἐνιαύσιον· οὐδὲ γὰρ Ἱππὼ
Ἀκλαυτεὶ περὶ βωμὸν ἀπείπατο κυκλώσασθαι.
Χαῖρε μέγα κρείουσα, καὶ εὐάντησον ἀοιδῇ.



ΕΙΣ ΤΗΝ ΔΗΛΟΝ ΥΜΝΟΣ.

ΤΗΝ ἱερὴν, ὦ θυμὲ, τίνα χρόνον ἢ πότ' ἀείσεις
Δῆλον, Ἀπόλλωνος κουροτρόφον; ἢ μὲν ἅπασαι
Κυκλάδες, αἳ νήσων ἱερώταται εἰν ἁλὶ κεῖνται,
Εὔυμνοι· Δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι
Ἐκ Μουσέων, ὅτι Φοῖβον ἀοιδάων μεδέοντα
Λοῦσέ τε καὶ σπείρωσε, καὶ ὡς θεὸν ἤνεσε πρώτη.
Ὡς Μοῦσαι τὸν ἀοιδὸν, ὃ μὴ Πίμπλειαν ἀείσει,
Ἐχθουσιν, τὼς Φοῖβος ὅτις Δήλοιο λάθηται.
Δήλῳ νῦν οἴμης ἀποδάσσομαι, ὡς ἂν Ἀπόλλων
Κύνθιος αἰνήσῃ με φίλης ἀλέγοντα τιθήνης.

ΕΙΣ ΤΟΝ ΤΗΣ ΔΗΛΟΥ ΥΜΝΟΝ.

ΠΙΜΠΛΕΙΑΝ] Ὄρος Θρᾴκης, ἱερὸν Μουσῶν.

Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος, οἷά θ' ἁλιπλὴξ,
Αἰθυίῃς καὶ μᾶλλον ἐπίδρομος ἠέπερ ἵπποις,
Πόντῳ ἐνεστήρικται. ὁ δ' ἀμφί ἑ πουλὺς ἑλίσσων,
Ἰκαρίου πολλὴν ἀπομάσσεται ὕδατος ἄχνην.
Τῷ σφε καὶ ἰχθυβολῆες ἁλίπλοοι ἐννάσσαντο.
Ἀλλά οἱ οὐ νεμεσητὸν ἐνὶ πρώτῃσι λέγεσθαι,
Ὁππότ' ἐς Ὠκεανόν τε καὶ ἐς Τιτηνίδα Τηθὺν
Νῆσοι ἀολλίζονται· ἀεὶ δ' ἔξαρχος ὁδεύει.
Ἡ δ' ὄπιθεν Φοίνισσα μετ' ἴχνια Κύρνος ὀπηδεῖ,
Οὐκ ὀνοτή· καὶ Μάκρις Ἀβαντιὰς Ἐλλοπιήων,
Σαρδὼ θ' ἱμερόεσσα, καὶ ἣν ἐπενήξατο Κύπρις
Ἐξ ὕδατος τὰ πρῶτα· σαοῖ δέ μιν ἀντ' ἐπιβάθρων.
Κεῖναι μὲν πύργοισι περισκεπέεσσιν ἐρυμναὶ,
Δῆλος δ' Ἀπόλλωνι. τί δὲ στιβαρώτερον ἕρκος;
Τείχεα μὲν καὶ λᾶες ὑπαὶ ῥιπῆς κε πέσοιεν
Στρυμονίου βορέαο· θεὸς δ' ἀεὶ ἀστυφέλικτος.
Δῆλε φίλη, τοῖός σε βοηθόος ἀμφιβέβηκεν.
Εἰ δὲ λίην πολέες σε περιτροχόωσιν ἀοιδαὶ,
Ποίῃ ἐνιπλέξω σε; τί τοι θυμῆρες ἀκοῦσαι;

Κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος] Ὅτι ἀκίνητος καὶ ἄσειστος ἡ Δῆλος, καὶ οὐδέποτε ἠνεμωμένη κινεῖται. καὶ Θουκυδίδης σεισμὸν γενόμενον μέγαν βουλόμενος ἐξηγήσασθαι, φησὶν ὅτι τοσοῦτος ἦν μέγας, ὥστε τὴν Δῆλον νῆσον σεισθῆναι. Ἄλλως. Ἄτροπος, Ἄσειστος· Ἀγεώργητος, καὶ μὴ τρεπομένη καὶ μεταβαλλομένη ἐν τῷ ἀροῦσθαι. τραχεῖα γάρ. Ἀπομάσσεται] ἀπορρύπτει. Νῆσοι ἀολλίζονται] Οὐχ ὅτι αἱ νῆσοι ἀθροίζονται, ἀλλ' οἱ ἔξαρχοι θεοί. Κύρνος

Illa

Illa verò ventosa, & *tam* immota, ut quæ & mari percussa,
Mergísque magis pervia quàm equis,
Mari effulta est, quod circa ipsam copiosè revolutum
Icariæ multam detergit undæ asperginem.
Ideóque eam piscatores marivagi incoluerunt.
Sed ipsi non ægrè ferendum, *vel invidendum*, quòd inter primas recensetur *insulas*,
Quamdiu in Oceanum & Titaniam Tethym
Insulæ congregantur: sed semper *Delus* primaria incedit:
Ponè Phœnicia, post vestigia *Deli*, Corsica ingreditur,
Haud vituperanda: & Macris Abantias Ellopiorum:
Sardiniáque amœna, & cui adnatavit Venus
Ex aqua primùm: servátque illam pro scala nautica.
Istæ quidem *insulæ* turribus circumtectis munitæ *sunt*,
Delus autem Apolline. quod verò firmius septum *Apolline?*
Muri equidem & lapides ab impulsu concidunt
Strymonii boreæ: at deus *permanet* semper immotus.
Dele chara, talis te opitulator circuivit.
Quoniam verò valde multæ te circumcurrunt cantiones,
Cuínam *potißimum* inferam te? quid tibi jucundum auditu?

ὀπηδεῖ] Ἡ νῦν Τύρος καλουμένη. Καὶ Μάκρις Ἀβαντιὰς] ἡ τῶν Εὐβοέων. Σαοῖ] σώζει. Ἐρυμναὶ] ἠσφαλισμέναι. Στρυμονίου βορέαο] Στρυμὼν, ποταμός ἐστι καὶ πόλις Θρᾴκης. Εἰ δὲ λίην πολέες σε] Αἱ Πινδάρου καὶ Βακχυλίδου. ἔδει δὲ εἰπεῖν πολλαί.

H

An quo pacto magnus Deus montes concutiens
Ense trisulco, quem ei Telchines fabricarunt,
Insulas marinas effecerit: deorsúmque omnes
Ab ultimis *oris* semoverit, & in mare devolverit?
Et alias quidem juxta fundum, ut continentis obliviscerentur,
Radicitus defixit: te verò haud *ulla* constrinxit ne[cessitas:
Sed libera mari innatabas, nomen autem erat tibi
Asterie antiquitus: quoniam profundam insilueras fossam,
Cœlitus fugiens Jovis concubitum, astro similis.
Quantisper quidem tibi nondum aurea *se* immiscebat Latona,
Tantisper Asterie & nondum vocabaris Delus.
Sæpe ex Trœzene à Xanthi oppidulo
Venientes Ephyram, in Saronico sinu
Nautæ conspexerunt: & Ephyra redeuntes,
Ipsi quidem *te* non ampliùs reviderunt: tu verò angusti ad præcipitem
Ivisti meatum Euripi cum strepitu fluentis,
Chalcidicique confestim renuens maris undam,
Usque ad Atheniensium adnatasti promontorium Sunium:
Aut Chium *usque*, aut insulæ perfusum aqua uber
Partheniæ. (nondum enim Samos erat) ubi te nymphæ
Vicini Ancæi Mycalesides hospitio exceperunt.

Η ὡς τὰ πρώτιστα] Λέγεται γὰρ ὅτι ὁ Ποσειδῶν τῇ τριαίνῃ ἀποσπῶν τῆς χέρσου τὰς νήσους ἐποίει. Ἀπὸ Ξάνθοιο πολίχνης] Ἀπό τινος Ξάνθου βασι-

Η ὡς τὰ πρώτιστα μέγας θεὸς οὔρεα θείνων
Αορι τριγλώχινι, τό οἱ Τελχῖνες ἔτευξαν,
Νήσους εἰναλίας εἰργάζετο; νέρθε δὲ πάσας
Εκ νεάτων ὤχλισσε καὶ εἰσεκύλισσε θαλάσσῃ;
Καὶ τὰς μὲν κατὰ βένθος, ἵν' ἠπείροιο λάθωνται,
Πρυμνόθεν ἐρρίζωσε· σὲ δ' οὐκ ἔθλιψεν ἀνάγκη,
Αλλ' ἄφετος πελάγεσσιν ἐπέπλεες, οὔνομα δ' ἦν σοι
Αστερίη τὸ παλαιὸν, ἐπεὶ βαθὺν ἥλαο τάφρον
Οὐρανόθεν φεύγουσα Διὸς γάμον, ἀστέρι ἴση.
Τόφρα μὲν οὔπω σοὶ χρυσέη ἐπεμίσγετο Λητώ,
Τόφρα δ' ἔτ' Αστερίη σὺ καὶ οὐδέ πω ἔκλεο Δῆλος.
Πολλάκις ἐκ Τροιζῶνος ἀπὸ Ξάνθοιο πολίχνης
Ερχόμενοι Εφύρηνδε, Σαρωνικοῦ ἔνδοθι κόλπου
Ναῦται ἐπεσκέψαντο· καὶ ἐξ Εφύρης ἀνιόντες,
Οἱ μὲν ἔτ' οὐκ ἴδον αὖθι· σὺ δὲ στεινοῖο παρ' ὀξὺν
Εδραμες Εὐρίποιο πόρον καναχηδὰ ῥέοντος.
Χαλκιδικῆς δ' αὐτῆμαρ ἀνηναμένη ἁλὸς ὕδωρ,
Μέσφ' ἐς Αθηναίων προσενήξαο Σούνιον ἄκρον,
Η Χίον, ἢ νήσοιο διάβροχον ὕδατι μαστὸν
Παρθενίης. οὔπω γὰρ ἔην Σάμος. ἧχί σε νύμφαι
Γείτονος Αγκαίου Μυκαλησίδες ἐξείνισαν.

λεύσαντος Τροιζῶνος. Χαλκιδικῆς δ' αὐτῆμαρ] Χαλκὶς, πόλις Εὐβοίας. Σούνιον] ἀκρωτήριον τῆς Ἀττικῆς. Η νήσοιο διάβροχον] τῆς Σάμου τὸ γόνιμον. Γείτονος Αγκαίου] Αγκαῖος βασιλεὺς Σάμου.

Ηνίκα δ᾽ Ἀπόλλωνι γενέθλιον οὖδας ἐπέσχες,
Τοῦτό τοι ἀντημοιβὸν ἁλίπλοοι οὔνομ᾽ ἔθεντο,
Οὕνεκεν οὐκέτ᾽ ἄδηλος ἐπέπλεες, ἀλλ᾽ ἐνὶ πόντου
Κύμασιν Αἰγαίοιο ποδῶν ἐνεθήκαο ῥίζας.
Οὐδ᾽ Ηρην κοτέουσαν ὑπέτρεσας· ἡ μὲν ἁπάσαις
Δεινὸν ἐπεβρωμᾶτο λεχωΐσιν, αἳ Διὶ παῖδας
Εξέφερον· Λητοῖ δὲ διακριδὸν, οὕνεκα μούνη
Ζηνὶ τεκεῖν ἤμελλε φιλαίτερον Αρεος υἷα.
Τῷ ῥα καὶ αὐτὴ μὲν σκοπιὴν ἔχεν αἰθέρος εἴσω,
Σπερχομένη μέγα δή τι καὶ οὐ φατόν. εἶργε δὲ Λητὼ
Τειρομένην ὠδῖσι. δύο δέ οἱ εἵατο φρουροὶ
Γαῖαν ὑποπτεύοντες. ὁ μὲν πέδον ἠπείροιο
Ημενος ὑψηλῆς κορυφῆς ἔπι Θρηΐκος Αἵμου
Θοῦρος Αρης ἐφύλασσε σὺν ἔντεσι· τὼ δέ οἱ ἵππω
Επτάμυχον Βορέαο παρὰ σπέος ηὐλίζοντο.
Η δ᾽ ἐπὶ νησάων ἑτέρη σκοπὸς εὐρειάων
Ηστο, κόρη Θαύμαντος, ἐπαΐξασα Μίμαντι.
Ενθ᾽ οἱ μὲν πολίεσσιν ὅσαις ἐπεβάλλετο Λητὼ,
Μίμνον ἀπειλητῆρες, ἀπετρώπων δὲ δέχεσθαι.
Φεῦγε μὲν Αρκαδίη, φεῦγεν δ᾽ ὄρος ἱερὸν Αὔγης

Διακριδὸν] Κατ᾽ ἐξοχήν. Μεγάλως. Σπερχομένη] Οργιζομένη. Εἵατο] ἐκαθέζοντο. Αἵμου] Ορος Θρᾴκης. Επτάμυχον] πολύμυχον. Νησάων] Παράλογος ἔχει τὴν διαίρεσιν. οὐ γὰρ ἀπὸ τῶν εἰς α ὀξύν. Ηστο κόρη] ἡ Ιρις. Μίμαντι] Ορος Χίου.

At cùm Apollini natale ſolum exhibuiſſes,
Tum hæc tibi remunerationis loco piſcatores nomina indiderunt,
Propterea quòd non amplius obſcura innatares, ſed in maris
Fluctibus Ægæi pedum *tuorum* affixiſſes radices.
Neque Junonem infeſtam pertimuiſti, quæ alias omnes
Atrociter infremebat contra puerperas, quæ Jovi filios
Pepererunt: Latonæ verò ſeorſim, quoniam ſola
Jovi paritura erat chariorem Marte filium.
Ac proinde ipſa quidem ſpeculam tenebat in cœlo,
Ira vehementi concitata, & non effabili. Detinebat enim Latonam
Afflictam pariendi doloribus. Duo item conſtituti erant cuſtodes,
Terram ſuſpicientes. unus quidem ſolum terræ continentis,
Stans in excelſo vertice Thracii Æmi,
Crudelis Mars obſervavit cum armis. Ejus interim equi
Septemplicem Boreæ juxta ſpecum demorabantur.
Altera verò inſularum inſpectrix latarum
Conſtituta erat filia Thaumantis, quæ invaſerat Mimantem.
Illi ergo civitatibus, quaſcunque aditu tentabat Latona,
Aderant comminantes, & prohibebant *eam* recipere.
Fugiebat quidem Arcadia, fugiebat mons ſacer Augæ

Parthenius, fugiebat senex retrò Phenæus.
Fugiebat tota Peloponnesus, quantacunque adjacet Isthmo,
Præter Ægialum & Argos. neque enim illas
Semitas strinxit *Latona*, quia obtinebat Inachum Juno.
Fugiebat item Aonia uno cursu, eámque subsequebantur [quæ habent
Dircéque Strophiéque, lapillis nigris abundantis
Ismeni manum patris. sequebatur & multò pòst
Asopus tardigradus: quoniam fœdatus erat fulmine.
At circumacta à tripudio abstinuit nympha
Indigena Melie, & subpallidum habuit vultum:
Coætaneam ingemiscens propter quercum, ubi vidit comam
Intremiscentem Heliconis. Meæ deæ dicite Musæ,
An verè natæ sint tum quercus cùm *extiterunt* nymphæ.
Nymphæ quidem gaudent ubi quercus imber irrigat;
Nymphæ rursum flent, ubi quercubus non amplius folia.
His igitur *quercubus* Apollo adhuc in utero latens graviter iratus est,
Dixitque haud irritum *verbum* interminatus Thebæ:
Theba, quid misera brevi tibi affuturum exitium doces?

Παρθένιον] Ορος Αρκαδίας τὸ Παρθένιον, ἔνθα τὴν Αὔγην τὴν Αλεοῦ θυγατέρα, ἱέρειαν τῆς Αθηνᾶς, ἔφθειρεν Ηρακλῆς. Φεναιὸς] Πόλις Αρκαδίας ἀρχαία. Εμπλὴν Αἰγιαλοῦ τε καὶ Αργεος] Ομηρος, Αἰγιαλόν τ' ἀνὰ πάντα. Καὶ Αονίη] Αονίας τὰς Θήβας λέγει. Δίρκη τε, Στροφίη τε] Κρῆναι ἐν Θήβαις ταῖς Βοιωτίαις. Ισμηνοῦ] Ισμηνὸς, ποταμὸς Θηβῶν, καὶ Ασωπός.

Παρθένιον· φεῦγεν δ' ὁ γέρων μετόπισθε Φεναιός.
Φεῦγε δ' ὅλη Πελοπηῒς ὅση παρακέκλιται Ισθμῷ,
Εμπλὴν Αἰγιαλοῦ τε καὶ Αργεος. οὐ γὰρ ἐκείνας
Ατραπιτοὺς ἐπάτησεν, ἐπεὶ λάχεν Ιναχον Ηρη.
Φεῦγε καὶ Αονίη τὸν ἕνα δρόμον. αἱ δ' ἐφέποντο
Δίρκη τε, Στροφίη τε, μελαμψήφιδος ἔχουσαι
Ισμηνοῦ χέρα πατρός. ὁ δ' εἵπετο πολλὸν ὄπισθεν
Ασωπὸς βαρύγουνος, ἐπεὶ πεπάλακτο κεραυνῷ.
Η δ' ὑποδινηθεῖσα χοροῦ ἀπεπαύσατο νύμφη
Αὐτόχθων Μελίη, καὶ ὑπόχλοον ἔσχε παρειήν,
Ηλικος ἀσθμαίνουσα περὶ δρυός, ὡς ἴδε χαίτην
Σειομένην Ελικῶνος. ἐμαὶ θεαὶ εἴπατε Μοῦσαι,
Ηρ' ἐτεὸν ἐγένοντο τότε δρύες ἡνίκα νύμφαι.
Νύμφαι μὲν χαίρουσιν ὅτε δρύας ὄμβρος ἀέξει,
Νύμφαι δ' αὖ κλαίουσιν ὅτε δρυσὶν οὐκ ἔτι φύλλα.
Ταῖς μὲν ἔτ' Απόλλων ὑποκόλπιος αἰνὰ χολώθη,
Φθέγξατο δ' οὐκ ἀτέλεστον ἀπειλήσας ἐπὶ Θήβῃ·
Θήβη, τίπτε τάλαινα τὸν αὐτίκα πότμον ἐλέγχεις;

Επὶ πεπάλακτο] Επὶ τὴν θυγατέρα αὐτοῦ Αἴγιναν ἁρπαγεῖσαν ὑπὸ Διὸς ἀπήγγειλε Σίσυφος· ὁ δὲ ἤρξατο διώκειν αὐτόν. Ζεὺς δὲ ὀργισθεὶς ἐκεραύνωσεν αὐτόν. Η δ' ὑποδινηθεῖσα] Υπότρομος γενομένη. Αὐτόχθων Μελίη] Τὸ ἑξῆς, οὐκ ἔστι κύριον, ἀλλ' ἁπλῶς εἴρηται περὶ πάσης μελίας. Ελικῶνος] Ορος Βοιωτίας. Ταῖς μὲν ἔτ' Απόλλων] Ταῖς μὴ δεξαμέναις δηλαδὴ τὴν Λητώ. Θήβη, τίπτε τάλαινα αὐτίκα] Τὸ ἑξῆς, ὦ Θήβη, τί αὐτίκα ἐλέγχεις ἐσόμενόν σοι πότμον.

Μήπω μή μ' ἀέκοντα βιάζεο μαντεύεσθαι.
Οὔπω μοι Πυθῶνι μέλει τριποδήϊος ἕδρη,
Οὐδέ τί πω τέθνηκεν ὄφις μέγας, ἀλλ' ἔτι κεῖνο
Θηρίον αἰνογένειον ἀπὸ Πλειστοῖο καθέρπον
Παρνησὸν νιφόεντα περιστέφει ἐννέα κύκλοις.
Αλλ' ἔμπης ἐρέω τι τομώτερον ἢ ἀπὸ δάφνης.
Φεῦγε πρόσω· ταχινός σε κιχήσομαι, αἵματι λούσων
Τόξον ἐμόν. σὺ δὲ τέκνα κακογλώσσοιο γυναικὸς
Ελλαχες. οὐ σύ γ' ἐμεῖο φίλη τροφὸς, οὐδὲ Κιθαιρὼν
Εσσεται· εὐαγέων δὲ καὶ εὐαγέεσσι μελοίμην.
Ως ἄρ' ἔφη. Λητὼ δὲ μετάτροπος αὖθις ἐχώρει.
Αλλ' ὅτ' Αχαιϊάδες μιν ἀπηρνήσαντο πόληες
Ερχομένην, Ελίκη τε Ποσειδάωνος ἑταίρη,
Βοῦρά τε, Δεξαμενοῖο βοόστασις Οἰνιάδαο,
Αψ δ' ἐπὶ Θεσσαλίην πόδας ἔτρεπε. φεῦγε δ' Αναυρος,
Καὶ μεγάλη Λάρισσα, καὶ αἱ Χειρωνίδες ἄκραι·
Φεῦγε δὲ καὶ Πηνειὸς ἑλισσόμενος διὰ Τεμπέων.
Ηρη, σοὶ δ' ἔτι τῆμος ἀνηλεὲς ἦτορ ἔκειτο·
Οὐδὲ κατεκλάσθης τε καὶ ᾤκτισας, ἡνίκα πήχεις
Αμφοτέρους ὀρέγουσα, μάτην ἐφθέγξατο τοῖα,

Τριποδήϊος] ὁ Δελφίνης. Ἀπὸ Πλειστοῖο] Πλειστὸς, ποταμὸς Φωκίδος, παρὰ τὸν Παρνασσὸν ῥέων, ὅ ἐστιν ὄρος Φωκίδος. Τομώτερον] σαφέστερον. Κακογλώσσοιο] τῆς Νιόβης. ἐν Θήβαις γὰρ κατῴκει. Κιθαιρὼν] Ορος Θηβῶν. Ελίκη] Πόλις Βοιωτίας. Βοῦρά τε, Δεξαμενοῖο] Βοῦρα, πόλις Ἀχαΐας· ᾤκησε δὲ αὐτὴν Δεξαμενὸς ὁ Κένταυρος. ἐκεῖ δὲ αὐτοῦ τὰ βοοστάσια ἐφυλάττετο·

Ne quæſo, ne me invitum cogas vaticinari.
Nondum mihi Pythone curæ eſt tripodis ſedes,
Nondum etiam mortuus eſt ſerpens prægrandis: ſed adhuc illa
Fera terribilis à Pliſto *amne* prorepens
Parnaſum nivalem circumdat novem ſpiris.
Sed nihilominus dico tibi verius quàm à lauro,
Fuge procul: velox te comprehendam, ſanguine tincturus
Sagittam meam. tu autem liberos maledicæ mulieris
Nacta es: neque tu mihi cara nutricula, neque Cithæron
Erit: ſed ſanctos ego, & ſancti me curant.
Sic dixit: Latona verò, ſolum vertens, illinc abibat.
Cæterùm quum Achivæ ipſam reſpuiſſent civitates
Advenientem, Helicéque Neptuni ſocia,
Buráque Dexameni boarium ſtabulum OEnidæ,
Retrò pedes in Theſſaliam convertit. Fugiebat autem Anaurus,
Et magna Lariſſa, & Chironides excelſæ:
Fugiebat etiam Peneus revolutus per Tempe.
Juno, tibi verò etiamnum immite pectus inerat:
Neque fracta es, neque miſerta es, quando lacertos
Ambos extendens, nequicquam talia diceret *Latona*,

διὸ καὶ Βοῦρα ὠνομάσθη. Καὶ αἱ Χειρωνίδες ἄκραι] Τὸ Πήλιον, ὄρος τῆς Θεσσαλίας, διὰ τὸ τὸν Χείρωνα ἐκεῖ οἰκῆσαι. Πηνειὸς] Ποταμὸς Θεσσαλίας. Τεμπέων] Τέμπη, αἱ στενώταται διεκβολαὶ τῶν Θεσσαλίας ὀρῶν.

Nymphæ Theſſalides, fluvii genus, dicite patri
Ut ſiſtat magnum fluxum: apprehendite *ipſum* mento,
Precantes ut Jovis in aqua liberos parere *liceat*.
Penee Phthiota, quid nunc cum ventis *celeritate* certas?
O pater, haud equidem in equeſtre certamen deſcendiſti.
